Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Etymologicon Graecum.

https://hdl.handle.net/1874/375202

Hs.
1 A 6

Hs. no. 6
Kast 1 pl. A

## Ἀρχὴ τοῦ Π στοιχείου

## τὸ Π μετὰ τοῦ Α.

Παγγενῆ· ἐπίρρημα μεσότητος· ἐξεβλήθη ἐξ αἰτιατικῆς πληθυντικῶς. εἰς ἐπίρρημα. ὁ παγγενὴς τοῦ παγγενοῦς. τῷ παγγενεῖ. τὸν παγγενῆ. παρὰ τὸ πᾶν. καὶ τὸ γένος.

ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Παγιωθεῖσα. ἑδραιωθεῖσα. βεβαιωθεῖσα. ἀπὸ τοῦ παγιῶ. τοῦτο παρὰ τὸ πάγος. τοῦτο παρὰ τὸ πήγω. ὁ δεύτερος ἀόριστος ἔπαγον. ἐξ αὐτοῦ πάγιος. ὁ πεπηγμένος

Πάγλος. εἰς τὸ ἐκπάγλως.

Πάγος. κρύος πεπηγὸς παρὰ τὸ πεπῆχθαι εἰς ὕψος.

Παγὶς. ἐκ τοῦ πήγω. πηγὶς. καὶ παγίς.

Πάγουρος. παρὰ τὸ ἐν πάγοις ὁρούειν. ὅ ἐστι φυλάττειν. διατρίβειν

ACADEMIA RHENO TRAIECTINA

Παιάνες· παρὰ τὸ παύειν· παύων·
καὶ κατὰ τροπὴν τοῦ Π· εἰς Γ· ὥς φησι
Δίδυμος·

Παιπαλκία· ἡ κενοδοξία.

Παιδαληίπτω· ὡς φιλαληίπτω.

Παιδνός παρὰ γὰρ τὸ παίζω
παιδνός· δίφθογγον

Πάγχυ παρὰ τὸ πάνυ· πλεονασ-
μῷ τοῦ Χ· καὶ τροπῇ τοῦ Ν εἰς
Γ· διὰ τὴν σύνταξιν.

Παγουροι· παρὰ τὸ οὐρεῖν ὅ ἐστι
φυλάττειν ἐν τοῖς πάγοις· πάγοι
δέ εἰσι κρημνώδεις τόποι.

Παῖς καὶ ἀντίπαις διαφέρει.
παῖς ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ.
ἀντίπαις δὲ ὁ μέγας παῖς.

Παίδευσις καὶ παιδία διαφέρει.
παιδία μὲν γάρ ἐστι δύναμις θε-
ραπευτικὴ ψυχῆς. παίδευσις
δὲ παιδείας καὶ ἀρετῆς παρά-
δοσις. καὶ ἐκ παιδὸς ἀρετὴ ἐπ'
ἀρετὴν ὁδηγοῦσα.

Παιδεία διὰ τῆς ει διφθόγγου. ὥσπερ παρὰ τὸ μοιχεύω. μοιχεία. οὕτω καὶ παρὰ τὸ παιδεύω γίνεται παιδεία. ἰστέον δὲ ὅτι τὸ παιδεία. πολλὰ σημαίνει. σημαίνει γὰρ τὴν παίδευσιν καὶ τὴν παιδικὴν ὁμιλίαν καὶ τὴν ἀνατροφήν. καὶ τὴν μῖξιν. τὸ γὰρ σημαῖνον παίγνιον. διὰ τοῦ ι γράφεται. καὶ παρ' ἡμῖν μὲν ὀξύνεται. οἷον παιδιά. παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνεται. οἷον παιδία.

Παῖδα. θηλυκῶς κλίνεται ἡ παῖς.

Παιδίον καὶ παιδάριον καὶ παιδίσκος καὶ παῖς διαφέρει. παιδίον μὲν γάρ ἐστιν τὸ τρεφόμενον ὑπὸ τιτθῆν. παιδάριον δὲ τὸ ἤδη περιπατοῦν καὶ λέξεως ἀντεχόμενον. παιδίσκος δὲ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ ὤν. παῖς δὲ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι.

Παιδίον διὰ τὸ παιδείας δέχεσθαι.

καὶ εἰς τὸ γέρων.

παίδατε. πλήδατε. τύψατε. Ἀττι-
κῶς χορεύσατε. ἢ παίξατε.

Παιδίον. ὅτι τοῦ πρὸς ἐστὶν ἴδιον,

Παῖδα παρὰ τὸ παῖς. παῖς. παιδός.
παιδίζω. καὶ παίζω. τὸ παι δίφθογ-
γον. ἐκ τοῦ παίζω. ἐξ οὗ καὶ παιδίον.

Παῖδα. παρὰ τὸ παίω τὸ τύπτω.
τοῖς γὰρ παισὶν ἁρμόζει δαρμός.
ἢ παρὰ τὸ παίζειν. παρεπόμενον
γὰρ ἐστι τοῖς παισί.

Παιδίσκη. καὶ παῖς. παρὰ Ἀττικοῖς
ἡ θεράπαινα διαφέρει. παιδίσκη
μὲν γάρ ἐστιν ἡ ἐλευθέρα. παῖς δὲ
ἡ δούλη.

Παιδίσκης. δούλης. παρὰ τὸ παῖς.
παιδός. τοῦτο παρὰ τὸ παῖς.

Παιδίσκος. εἰς τὸ γέρων.

παῖς. ὁ ἐπιτήδειος. εἰς τὸ παί-
ζεσθαι. καὶ παιδίσκη ἀπὸ τούτου.
ἢ τὴν αὐτὴν ἡλικίαν ἔχουσα.

Παιδνός. παρὰ τὸ παίζω παιδνός.

Παίζω· παρὰ τὸ παῖς παιδός· γίνε-
ται παιδίζω· καὶ συγκοπῇ παίζω.
τοῖς γὰρ παισὶ εἴωθεν ἀεὶ τὸ παί-
ζειν·

Παιπάλη· ἄλευρον κριθῆς. εἰς
παλυνομένης.

Παλαιός· ὁ ἀρχαῖος· παλαιός δὲ
ὁ γέρων τίθεται καὶ ἐπὶ τοῦ
σκώπτοντος.

Παῖς· παρὰ τὸ βαιός βαῖς· καὶ
παῖς· τρία δὲ σεσημειωμένα· παῖς.
δαῖς· ϛαῖς· ἅτινα

. . . . σημαίνει τὴν εὐωχίαν

ἑδάτερον τὸ ϛαῖς· σημαίνει δὲ τὸ
ἄλευρον· καὶ εἰς τὸ γέρων καὶ
παιδίσκος.

Παιών· ἐστὶ ὁ μαγειρικός πάν· εἴ-
τε τὸ ἔθνος· ἴσως ἡ παράδοσις.
ἐντεῦθεν παρήχθη· καὶ τὸ ἐν τῇ
κοινῇ λεγόμενον πᾶσι παιών·

Παίονες καὶ κᾶρες ἀγκυλότοξοι.

Παιᾶνος· τοῦ ὕμνου·

Παιονίσαντες· ἀλαλάξαντες —

εὐφημήσαντες. τὸν παιᾶνα ἐπικα-
λεσάμενοι. ἦν δὲ ἔθος. καὶ ἐπὶ
ἔργου ἀρχομένης. καὶ ἐπὶ τῇ νίκῃ.
τοῦτο λέγειν.

Πάντα. παρὰ τὸ πάντα πᾶσαι.

Πάλαι ἐπίρρημα χρόνου δηλωτικόν.
ποτὲ ἀρχῆθεν. ὅπερ καὶ βαρύνεται.
καὶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν
τόνον. οἷον πρόπαλαι.

Πάθος παρὰ τὸ πήθω τὸ πανθάνω
ὁ δεύτερος ἀόριστος. ἔπαθον. καὶ
ἐξ αὐτοῦ πάθος.

Παλαιμων. εἰς τὸ Λακεδαίμων.

Παλαιόν. παρὰ τὸ ἐκπάλαι εἶναι.
ἢ διὰ τὸ παλαιῶν ἤγουν ἐκ χρόνων πολ-
λῶν εἶναι.

Παλαιστάς. ἀντὶ τοῦ μετρητάς. γίνεται
δὲ. ἐκ τοῦ πάλλω. τὸ κινῶ. ὁ μέλλων πα-
λῶ. ὁ παρακείμενος πέπαλκα. ὁ
παθητικὸς πέπαλμαι. καὶ ἐξ αὐτοῦ
πάλμη δι' ἧς ἡ χεὶρ κινεῖται. καὶ
ἐκ τούτου γίνεται παλάμη. καὶ ἐξ
αὐτοῦ πεπάλακα ὁ παρακείμενος.
ὁ παθητικὸς πεπάλαισμαι τὸ—

τρίτον πεπάλαςαι· καὶ ἐξ αὐτοῦ πα-
λαιςός· καὶ τὸ θηλυκὸν παλαιςή· ση-
μαίνει δὲ τὴν τῶν τεσσάρων δακτύ-
λων ὀρθινιαίαν συνθεσιν· πελαςή τις οὖ-
σα· ὅτι πέλας συνάγει τὰ ὀςᾶ τοῦ
ποιοῦντος αὐτοῖς τοῖς δακτύλοις· ἡ
αὐτὴ καὶ δοχμή.

Παλαιςίνη ἡ χώρα τοῦ Φιλιςιείμ· διὰ
τοῦ ι γράφεται. ἰςέον δὲ ὅτι ἀπὸ τοῦ
παλαιςίνη λέγεται ὁ πολίτης παλαιςι-
νος. Ἀκραγαντῖνος.

Παλαιςής· παρὰ τὸ παλαίειν ὅ ἐςι
κληροῦσθαι.

Παλαμάων· πολεμικῶν· αὐτοχείρων.
ἡ εὐθεῖα παλάμη· παρὰ τὸ πάλλω
τὸ κινῶ ἐτυμολογεῖται καὶ τοῦ ἀμᾶν.
ἐξ οὗ καὶ παλαμαῖος· καὶ πλεονασ-
μῷ τοῦ ν· παλαμναῖος· σημαίνει
δύο· ὁ τοὺς αὐτοχειρὶ φονεύσαντας
τιμωρούμενος· καὶ ὁ ἐπί τινι μιάς-
ματι κατεχόμενος.

Παλάμη· παρὰ τὸν παλμὸν ἤγουν
μέτρον τῆς χειρός εἶναι.

Παλάμαι παρὰ τὸ πάλλειν· ἢ παρὰ

τὸ πάλλω τὸ κινῶ.

Παλάμηφιν. προσγεγραμμένον τοῦ ι. ἐκ παραδόσεως. ἔχει δὲ καὶ κανόνα. αἱ διὰ τῆς φι συλλαβῆς γινόμεναι ἐπεκτάσεις, προσεχόμεναι ταῖς πτώσεσιν. εἰ μὲν φυλάττουσι τὴν αὐτὴν γραφὴν φυλάττει. οἷον θεύρη θεύρηφιν. εἰ δὲ οὐ φυλάττει τὴν αὐτὴν φωνὴν. οὐδὲ τὴν αὐτὴν γραφὴν φυλάττει. οἷον χαλκὸς. χαλκοῦ. χαλκόφιν. χωρὶς τοῦ νόσφι. καὶ ἶφι. ταῦτα γὰρ ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπιρρηματικὴν σύνταξιν.

Παλαιστή. ἡ τῶν τεσσάρων δακτύλων ὁρδινιαία σύνθεσις. ἐτυμολογεῖται δὲ παλαιστή τις οὖσα. ὅτι πέλας συνάγει τὰ ὀστᾶ. τουτέστι πλησίον ποιεῖ τοὺς δακτύλους. καὶ πλεονασμῷ τοῦ ι. παλαιστή. ἤγουν μετρητή.

Παλαιστή. δηλονότι ὅτι συνάγονται οἱ τέσσαρες δάκτυλοι. οἷον πελεστή τις οὖσα. ὅτι πέλας συνάγει τὰ

στά· οἷον τοὺς δακτύλους. καί δοχ-
μή λέγεται. ὅτι πλατεῖα τῇ χει-
ρί μετροῦμεν. ποιεῖ δέ ἀπό τοῦ
μεγάλου δακτύλου πρός τόν λιχανόν
ἀκροδακτύλους δέκα. καί δοχμή
τό πλάγιον. ὡς λέγει Σωρανός. ἡ
δέ σπιθαμή ἔχει δοχμάς τρεῖς.
οἷον παλαιστάς. δακτύλους δέ. δύο
καί δέκα. ἀπό τοῦ μικροῦ δακτύλου
διϊσταμένων τῶν δακτύλων. ἕως
τῆς ἀντίχειρος. λέγεται σπιθαμή.
παρά τό ἀποσπασμόν ποιεῖν. ὡς
καί Χρύσιππος διά τό σπᾶσθαι τήν
ὅλην χεῖρα. ποιεῖ σπιθαμήν. δακ-
τύλους δέ δώδεκα. τό δέ ἀπό τῆς
ὀλεκράνου πρός μέν τό τοῦ μέσου
δακτύλου πῆχυς μέτρον. πρό δέ
τοῦ μικροῦ μετακονδύλιον. ὅ ἐστι
κατά τό μέσον κόνδυλον. τῶν γάρ
δακτύλων ὁ μέν πρῶτος κόνδυλος
λέγεται. προκόνδυλος. καί ἐσοδάκ-
τυλος. ὁ δέ μετά τοῦτον μεσο-
κόνδυλος. ἀπό οὖν τοῦ ὀλεκράνου
πρός τό τοῦ μικροῦ μετακονδύλιον.

πυγῶν ἐξ ὧν ὁ πῆχυς. σπιθαμαὶ
μὲν δύο. δοχμαὶ δὲ ἕξ. δάκτυλοι
δὲ κδ. πυγὼν δὲ ἴσως. ἀπὸ τῆς
πυγμῆς. ἐπεὶ μὴ ὥσπερ ὁ πῆχυς
προστεταγμένους μετρεῖται δακτύ=
=λους. οὕτω καὶ ἡ πυγὼν ἐπισωρευ=
=μένως. ὥστε ἔλαττον εἶναι τοῦτο
τὸ μέτρον τοῦ πήχεως. ἴσως δὲ
τὸ μήκει πυγῆς ἐκ ποδός. τὸ
ὄνομα κέχρηται ὅμηρος.

βόθρον ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα.
ἐκτεθεισῶν δὲ δύο χειρῶν ἀπ' ἀλ=
=λήλων εἰς τὰ πλάγια. ὀργυιὰ
λέγεται. οἷον ὀρεγυῖα. διὰ τὸ
ὀρέγειν. ὅ ἐστιν ἐκτείνειν τὰ γυῖα.
τουτέστι τὰς χεῖρας. ἔχει δὲ ἡ
ὀργυιὰ σὺν τῷ πλάτει τοῦ στήθους.
πήχεις τέσσαρας. ἡλικοῦνται
δὲ κατὰ μέγεθος αἱ χεῖρες οὖσαι.
κάτω ἐκταθεῖσαι. οὐκ ἐφικνοῦ=
=ται τῶν γονάτων. ἀλλ' ἀποδέ=
=ουσι σπιθαμήν. διὸ καὶ τὸν μα=
=κρόχειρα δόξαντα κεκλῆσθαι. εἴτε

Δαρεῖος ὁ ὑστάσπου. εἶτα Ξέρξης.
εἶτα Ὦχος. εἶτα Ἀρταξέρξης. μὴ β
διὰ τὸ ἐφάπτεσθαι τῶν γονάτων
οὕτως ὀνομάσασθαι. διὰ δὲ τὸ μή-
:κιστα ἐκτείνειν τὴν δύναμιν τῆς
βασιλείας. οὕτως Σωρανός.

Παλάμη. ἀπὸ τοῦ δι' αὐτῆς τὰς
μηχανὰς ἐργάζεσθαι.

Παλαμναῖος παρὰ τὸ πολλοὺς ἀ-
:μᾶν. ἢ παλαίειν μετὰ μένους.
καὶ Ζεὺς δὲ παλαμναῖος λέγεται.
ἐν Χαλκίδι. καὶ ἀσπὶς. καὶ τὶς
τῶν θηρίων παλαμναῖος καλεῖται.
ὁ διὰ χειρῶν καταγωνιζόμενος.
παρὰ τὴν παλάμην. καὶ εἰς τὸ πα-
:λαμάων.

Παλαμναῖος. ὁ τοὺς αὐτοχειρία
φονεύσαντας. καὶ ὁ ἐχθρὸς καὶ
ὁ πολέμιος. ὁ διὰ χειρὸς κατα-
:γωνιζόμενος τὴν μάχην. παρὰ
τὴν παλάμην.

Πάνορμοι λιμένες ἔχοντες παντὸς
ἀνέμου. ἢ εἰς οὓς ὁρμίζονται πάν-
:τες.

Παλινοστήσας ἐκ τοῦ πάλιν καὶ τοῦ
νόστος· νοστήσω πάλιν. ἀπὸ τοῦ ὁ-
:μοίως μεταστροφὴν δηλοῖ.

Παμμήστορα· πάντων τεχνίτην.

Παλίρροια· ἡ ῥοή· ἀλιρρόθιον· τὸ
εἰς τοὐπίσω φερόμενον κῦμα.

Παλάμη· ἀπὸ τοῦ πάλλειν ἢ ὅτι
δι' αὐτῶν πεπαλάμηθα καὶ τεχ-
:νώμεθα. αἱ τέχναι γὰρ· παλά-
:μαι καλοῦνται. παρ' ὅσον δι' αὐτῶν
παλαμώμεθα. ἢ πολλὰ μαιώμεθα.
παλάσσετο ἐβρέχετο. ἐμολύνετο.
πηλὸς γὰρ ἡ βεβρεγμένη γῆ.

Παλάτιον· πάλαι τιόν.

Πάλη· εἰς τὸ ἄπολλον καὶ λακεδαί-
:μων

Παλύνη τὸ ἄλευρον· παρὰ τὴν παι-
:πάλην. ὅ ἐστι τὸ λεπτὸν ἄλευρον.
παλυνομένης· βρεχομένης ἢ λευκαι-
:νομένης. παρὰ τὴν παλύνην ἀττικοὶ
δὲ παιπάλην λέγουσιν. τὸ λεπτὸν
ἄλευρον. παρὰ τὸ ἀποπάλλεσθαι.
ἐκ τοῦ ἀλεύρου. ὅ ἐστιν ἀποῤῥίπτεσθαι.

Παλιγγενεσία· ἡ ἀναγέννησις. ἐκ

τοῦ πάλιν καὶ τοῦ γεννῶ. γεννή-
:σω. γεννησεία. ἀντὶ τοῦ ἀναγέννη-
:σις. τὸ δὲ πάλιν σημαίνει τρία.

Παλλίλογα. παρὰ τὸ λέγω ῥῆμα.
ὃ σημαίνει τὸ συλλέγω καὶ τὸ πάλιν.
τὸ συλλογῶ τὸ ἐκ δευτέρου. πλεονασ-
:μῷ τοῦ λ̄.

Παλιμπετές. τὸ ὀπισθόρμητον.
παρὰ τὸ ἔμπαλιν. καὶ εἰς τὸ ἐναν-
:τίον μεταπεσεῖν.

Πάλιν. σημαίνει τρία. τὸ ἐκ δευ-
:τέρου. ὡς θήν μιν πάλιν θυμὸς ἀνήσει.
καὶ τὸ ἐξ ἐναντίας. ὁ δὲ πάλιν ἀέρει.
καὶ τὸ εἰς τοὔπισω. χειρὶ πάλιν ἔρυσας.
καὶ ὄσσε πάλιν κλίνασα. καὶ εἰς
τὸ αὖτις. καὶ πλημμέλεια.

Πάλιν τοῦ αὖθις διαφέρει. ὅτι τὸ
μὲν πάλιν εἰς τοὔπισω σημαίνει.
τὸ δὲ αὖθις, τὸ ἐξ ὑστέρου. ἐπίρρη-
:μα συντακτικόν. καὶ τί διαφέρει
τὸ αὖθι. τοῦ αὖθις. τὸ μὲν γὰρ
αὖθις σημαίνει τὸ πάλιν. ἢ τὸ
μετὰ ταῦτα. τὸ δὲ αὖθι. τὸ αὐτό-
:θι.

Παλίνορσος. ἐκ τοῦ πάλιν τοῦ

σημαίνοντος τοῦ εἰς τοὐπίσω· καὶ τοῦ ὀρῶ μέλλοντος· ἔστι γὰρ ὀρῶ. ὁ μέλλων ὀρσῶ· αἰολικῶς· ἐξ αὐτοῦ γίνεται παλίνορσος· ὀπισθόρμητος.

Παλίσσυτος· εἰς τὸ παρσυδίη. καὶ εἰς τὸ ἔσσυται· ὅμηρος.

Παλίωξις πάλιν δίωξις· τί ἐστι. παλίωξις δὲ λέγεται· ὅταν οἱ διωκόμενοι εἰς τοὐπίσω στραφέντες· τοὺς πρώην διώκοντας ἐλαύνωσι· πάλιν γὰρ τὸ ὀπίσω στραφέντες· τοὺς πρώην διώκοντας ἐλαύνωσι. πάλιν γὰρ τὸ ὀπίσω σημαίνει καὶ ἴωξις. καὶ πλεονασμῷ τοῦ δ. δίωξις· παρὰ τὸ διώκω τοῦτο παρὰ τὸ ὠθῶ· συντάσσεται πτώσει αἰτιατικῇ.

Παλλὰς ὄνομα θεᾶς· τῆς Ἀθηνᾶς. παρὰ τὸ πάλλω τὸ κινῶ· ἢ ἀπὸ τοῦ παλεῦναι αὐτήν· ἀπὸ τῆς κεφαλῆς τοῦ διός· ἢ ὅτι πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν.

ἢ διά τό παλλομένην τὴν καρδίαν τοῦ διονύσου, προσηνομίσθαι τῷ διΐ.

Παλλάς. ἀπό τοῦ νικῆσαι ἕνα τῶν γιγάντων ἐν τῇ μάχῃ. ἢ ἀπό τοῦ παλληκώδη ἡλικίαν ἔχειν. ἢ ἀπό τοῦ πάλλειν κατά τόν μυστικώδη λόγον. ἀναβιβασθέντα γάρ τόν Διόνυσον ὑπό ῥέας εἰς οὐρανόν, φασίν ἥραν ἀπεχθῶς ἔχουσαν ἐπιπέμψαι αὐτῷ τούς τιτᾶνας. εἰς τό διαφθαρῆναι αὐτόν, καί τούτους ἐπιχειρήσαντας διασπᾶσαι αὐτόν, πάλλουσα τό δόρυ ἀπήλασε.

Παλλακή. ἡ νέα καθ' ἡλικίαν παρά τό πάλλειν.

Παλακῖνος. παρά Σώφρονι. τό ὄνομα δηλοῖ τό πάλλημα. ἢ τόν τῆς παλλακῆς υἱόν.

Πάλληξ. εἰς τό γέρων.

Πάλλω. εἰς τό ἐγχέσπαλον. καί ὁμήλιξ. καί παλαιστάς. καί παλαμάζων. καί προπηλακισθέντες.

Παμφάλω. παρά τό παμφάω. πλεονασμῷ τοῦ λ.

παμχ. εἰς πηός.

Πάμπαν. ἐστὶ πᾶν καὶ κατὰ ἀναδιπλασιασμὸν πάμπαν. τὸ δὲ μ διὰ τὴν σύνταξιν. οὕτως Ἡρωδιανός.

Παμπήδην. ἐπεὶ ὥσπερ χύδην.

μάτην. σημαίνει δὲ τὸ παντελῶς.

Παιδίων διὰ τοῦ ι. γράφεται· παρὰ γὰρ τὴν ἰὼν μετοχήν. καὶ τὸ πᾶν γέγονε πανίων. καὶ κατ' ἐπένθεσιν τοῦ δ. πανδίων.

Πανήγυρις. τὰ συνθετα ὁμοίως τοῖς ἁπλοῖς κλίνεται. τὸ ἁπλοῦν. ἄγυρις τὸ γὰρ φίλον. ὥσπερ ὄνομα. ὄνομα. οὕτως ἀγορά. ἀγορός. ἄγυρις Αἰολικῶς. τὸ νη. π. ἐν τοῦ πᾶν καὶ τοῦ α. ἄγυρις καὶ πανήγυρις.

Πανήγυρις. παρὰ τὴν ἄγυριν. ὅ ἐστι συνάθροισιν. εἰς ἣν πάντες ἀγείρονται. οἷον ἀθροίζονται.

Παννυχίς. παννυχίδος.

Παννύχιον ἐπίρρημα μεσότητος ἀντὶ τοῦ παννυχίως. ὄνομα μετήχθη εἰς ἐπιρρηματικὴν σύνταξιν.

συντάσσεται δέ, ὥσπερ τὸ ἥδιστα.
καὶ τὸ ἥκιστα. καὶ τὰ ὅμοια. γί-
νεται ἐκ τοῦ νύξ. νυχός. νύχιος.
καὶ πάννυχιος. τὸ χι. τι. τὰ ἀπὸ
μονοσυλλάβων ὀξυτόνων. διὰ
τοῦ ιος. ὀνόματα. διὰ τοῦ τ γρά-
φεται. μήν. μηνός. μήνιος.
Πανόλβιος. παρὰ τὸ πᾶν καὶ
τὸ ὄλβος. ὃ σημαίνει τὸν πλοῦ-
τον. ὀλόβιος. ἤγουν πάνυ πλού-
σιος. ἢ παρὰ τὸ οὖλος. ὃ σημαί-
νει τὸν ὑγιῆ. οὐλόβιος. μετὰ τοῦ
βίος. καὶ ἀποβολῇ τοῦ υ. καὶ
κατὰ συγκοπὴν. ὄλβιος. φασὶ μὲν
γάρ. ὃ λέγεται καὶ μέγα χαῖρε.
ἀντὶ τοῦ ὑγίαινε. ὄλβιος οὖν ἐστίν.
ὁ ἐν μηδενὶ ἐνδεής. τὸ δὲ ὄλβιος
γέγονε. παρὰ τὸ ὅλος. ὃ σημαί-
νει τὸν ὁλόκληρον. καὶ πλούσιον.
Πανσαγκία. ἡ πανοπλία. ἀπὸ
τοῦ σάκους εἴρηται. ὥς πως. εὗρον
Ὅμηρος.
Πανσυδίῃ. παντὶ τῷ πλήθει. παρὰ

τό ὅμου τάσσεσθαι. καί σώζεσθαι
ἤγουν θερμᾶν καί ἐπακολουθεῖν.
ἐξ οὗ καί παλίσσυτος. καί εἰς τό
ἔσσυται.

Πάντας. ἐκ τοῦ πᾶς. σημαίνει δύο
τό τε προσηγορικόν. τό τε ἐπί-
θετον. προσηγορικόν μέν. τό
δηλοῦν τόν πρᾶ. τόν τε πρᾶ.
οὗ κατά ἀναδιπλασιασμόν πα-
πᾶς. τοῦτο οἱ μέν Ῥωμαῖοι.
βαρυτόνως λέγουσιν. ἡμεῖς δέ πε-
ρισπωμένως. τοῦτο δέ κλίνεται
ὁ πᾶς. τοῦ πᾶ. τό ἐπίθετον
ὁ πᾶς. τοῦ παντός.

Παντοπόλιον. διά τό εἰς πᾶσαν τήν
πόλιν εἶναι.

Πάντοτε ἐπίρρημα χρόνου δηλω-
τικόν. ἐκ τοῦ πᾶν καί τοῦ τότε.
καί εἰς τό τότε.

Πανδώρα. ἡ γῆ. ὅτι τά πρός ζωήν
β δωρεῖται. ἔστιν ὄνομα κύριον παρ'
Ἡσιόδω. ἡ ὅτι πάντων δῶρα ἔλαβεν.
ἢ ὅτι δῶρα πάντων θεῶν.

Πάντοτε. πανταχοῦ. διατί —

προπαροξύνεται. τὰ εἰς ε λήγοντα ἐπιρρήματα τὴν εἰς τόπου σχέσιν δηλοῦντα. ὁμότονα καθεστήκασι τοῖς εἰς θεν λήγουσιν ἐπιρρήμασιν. οἷον ἑκασταχόθεν. ἑκασταχόθε. πάντοθεν. πάντοτε. τὸ το̄ μικρόν. τὰ εἰς θεν λήγοντα ἐπιρρήματα παραλήγονται φωνήεντι. ᾧ καὶ τὸ τέλος τῆς γενικῆς τοῦ ὀνόματος. εἰ δὲ ἀπὸ ῥήματος εἴη. τῷ αὐτῷ παραλήγονται. δι' οὗ τὸ λῆγον τοῦ πρωτοτύπου. εἰ δὲ διὰ διφθόγγου εἴη καθὼς πρόκειται. ὑποπίπτει τὸ ἐπὶ τέλους φωνῆεν. ἀρχῆθεν. θύρας. θύραθεν. ῥίζης ῥίζηθεν. λυκίας λυκίαθεν. οὐρανοῦ οὐρανόθεν.

Παπαί ἐπίρρημα σχετλιαστικόν ἀπὸ τοῦ πήθω τὸ πανθάνω. ὁ δεύτερος ἀόριστος ἔπαθον. παπαί τὸ πάθος τῆς λύπης. πάντα τὰ εἰς αι λήγοντα ἐπιρρήματα, ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπῶνται. πλὴν τοῦ βαβαί καὶ τοῦ ναί. τὸ δὲ οὐ ἀναφώνημα λύπης.

Παρατλήξ. παρὰ τὸ πεπληγμένας

ἔχειν τὰς φρένας. ἐκ τοῦ πλω.
πλήσσω. πλήξ. σημαίνει δὲ τὸν
ἔκφρονα.

Παπᾶς. παρὰ τοῖς Ἀττικοῖς λέγεται
ὁ πατήρ. καὶ εἰς τὸ πάντας.

Πάππα. φίλε. εἴρηκεν ὅμηρος. ἔστι
δὲ ἐλέγετο παρὰ Συρακουσίοις. ὁ
πατήρ. πᾶς λέγεται. καὶ κατὰ ἀ-
ναδιπλασιασμὸν πάπας. καὶ πλε-
ονασμῷ τοῦ π. πάππας. πάππα
φίλε.

Παπταίνειν. σημαίνει τὸ βλέπειν
καὶ περισκοπεῖν τῇδε κἀκεῖσε.
παρὰ τὸ πανταχοῦ τὰ φάη πεταν-
νύειν.

Παπταίνων. περιβλεπόμενος πα-
ρατηρῶν. παρὰ τὸ τὰ φάη πε-
τανύειν. γίνεται φαπταίνω. καὶ
παπταίνω.

Πάπω. εἰς δαίρ.

Παρά. εἰς τὸ ἧσο. καὶ παρὰ θῖνα.

Παράβυστον. παρακεκρυμμένον.
λάθρα γινόμενον. παρὰ τὸ βύω.
ὃ σημαίνει τὸ κλείω. σημαίνει γάρ

καὶ τὸ πληρῶ· ὅμηρος·

γήματος ἀδμήτοιο βεβυσμένου· τουτέστι πεπληρωμένου.

Παραβλήδην· παραβλητικῶς· παραβολικῶς· ἐστιν ἐπίρρημα ποιότητος. καὶ ἐκ πόσων μερῶν λόγου παράγονται τὰ εἰς δην ἐπιρρήματα· ἐκ δύο ἐξ ὀνόματος καὶ ἐκ ῥήματος· καὶ εἰ μὲν ἀπὸ ὀνομάτων παράγονται τὰ εἰς δην ἐπιρρήματα· τὸ α παραλήγει· οἷον λόγος λογάδην. σπόρος σποράδην· τρόχος τροχάδην· εἰ δὲ ἀπὸ ῥήματος γίνονται τὸ β· παραλήγει· οἷον γράφω· γράβδην· λείβω· λείβδην· ὡς τὸ ἄκρον ἐπιλύβδην· κρύπτω· κρύβδην· εἰ δὲ ἀπὸ τῶν εἰς ω μελλόντων· τὸ γ· παραλήγει· οἷον μίξω· μίγδην· λίξω· λίγδην· εἰ δὲ ἀπὸ τῶν περισπωμένων τὸ η παραλήγει· ῥῶ ῥήδην· σημαίνει δὲ τὸ φανερόν. τιμῶ· τιμήσω· τιμήδην· εἰ δὲ τῶν εἰς μι· εἰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας· τὸ η· παραλήγονται· οἷον ἀνίημι· ἀνήσω

ἀνέδην· σημαίνει δὲ τὸ διαλελυμένον. εἰ δὲ ἀπὸ τῆς δευτέρας· τῷ ᾱ παραλήγεται. οἷον βῆμι· βάσω. βάδην·· τοῦ δὲ· βάδην ἀπιόντος.

Παραβολή· παραδείγματος διαφέρει. ἡ μὲν γὰρ παραβολὴ ἀπὸ ἀλόγων ἢ καὶ ἀψύχων λαμβάνεται. ἀπὸ μὲν ἀλόγων. οἷον ὀξύτατος ἵππος. ἀπὸ δὲ ἀψύχων· ὡς πέτρης οἰκία μεγίστη. τὸ δὲ παράδειγμα ἀπὸ ἐμψύχων καὶ γεγονότων πραγμάτων ἀπὸ ἐμψύχων. ὥσπερ ἀνήρ τις. ἀπὸ δὲ γεγονότων πραγμάτων. ὥσπερ τὸ συμβεβηκὸς πολέμου.

Παραβολή· εἰς τὸ ὡς.

παραβολή ἐστι λόγος παραβάλλων τὰ νοητὰ τοῖς αἰσθητοῖς. καὶ παρεισάγων ἐκ τῶν ἐγκοσμίων καὶ ὁρατῶν. τὰ ὑπερκόσμια καὶ ἀόρατα.

παράβυστον· ἐκ τῆς παρα προθέσεως. καὶ τοῦ βύω. ὃ σημαίνει τὸ κεκαλυμμένον· γίνεται παράβυστον καὶ σημαίνει τὸ ἀπόκρυφον ἐν—

παραβύστω· ἐν ἀποκρύφω.

Παράδειγμα δέ· λόγος· ἀπὸ τοῦ καθ' ἕκαστα ἄγων· ἐπὶ τὸ καθόλου. ἢ δεῖξις· πιστουμένη τὸ μερικόν· διὰ μερικοῦ καὶ ὁμοίου.

Παράδεισος· πρώτη· δρόσος. ἢ διάδροσος. ἢ παρὰ τὴν ὑγρασίαν δεῖσα γὰρ ἡ ὑγρασία. παράδεισος δὲ κυρίως λέγεται· τόπος ἔνυδρος καὶ ἔνδενδρος· ἐν ᾧ περιπατεῖ. καὶ ἡ βασιλέως κατάστασις.

Παράδεισος· οὕτως ἡ παράδοσις. καὶ οἱ μὲν λέγουσι· μηδικὴν τὴν λέξιν. οἱ δὲ καὶ τὴν δεῖσαν ἐγκεῖσθαι. Ἀλεξίων δὲ· τὸ δασὺ ἔλεγεν ἐγκεῖσθαι. δύναται δὲ παρὰ τὸ δεύσω. γεγενῆσθαι· ἡ λέξις.

Παράδεισος γέγονε· παρὰ τὴν δεῖσαν· ἥτις ἐστὶν ἡ ὑγρασία· καὶ ὁ τόπος ὑγρός. τὸ δὲ δεῖσα· παρὰ τὸ δεύσω· μέλλοντα. δεῦσα καὶ κατὰ τροπὴν τοῦ υ· εἰς ι· δεῖσα. περσικὴ δὲ λέγεται ἡ λέξις.

Παράδεισος· διὰ τῆς ει διφθόγγου

παρὰ τὸν δεύσω μέλλοντα. τὸ δευ-
-μάτινον τὸ βρέχω γένους παράδευσος
καὶ τροπῇ τοῦ υ. εἰς ι. παράδεισος.
τὸ δὲ δεῦσα. ὡς ἐμάθομεν. διὰ τῆς
ευ διφθόγγου γράφεται.

Παραθῖνα. παρὰ τὸν αἰγιαλὸν τῆς
θαλάσσης. ὃς οὕτω κέκληται. ἀπὸ
τοῦ θείνεσθαι. ὅ ἐστι τύπτεσθαι τῇ
προσρήξει τῶν κυμάτων

παραθῖνα. ἡ παρά. τὸ ἔξω δηλοῖ
ὥσπερ καὶ τὸ παραπλεῖν τὸ ἔξω
πλεῖν. αἰγιαλὸς μέν. κοινῷ εἴρηται
ὀνόματι. ἔστι παρὰ τὴν ἅλαν ἐγγὺς
ἁλὸς ἔχειν. ἔχει διαφορὰς τρεῖς.
ἀκτὴν καὶ θῖνα καὶ ῥηγμῖνα. ἀκτὴ
μὲν οὖν εἴρηται. ὁ πετρώδης αἰγια-
-λός. παρὰ τὸ ἄγνυσθαι καὶ κλᾶσθαι.
ἐκεῖ τὰ κύματα. θὶν δέ. ὁ εὔδιος καὶ
ἥσυχος αἰγιαλός. παρὰ τὸ μετὰ γαλή-
-νης. καὶ νηνεμεσίας. ἐκεῖ γε τὰ κύμα-
-τα ἀποτίθεσθαι. ῥηγμὶν δὲ ὁ πρὸς
ἄνεμον αἰγιαλός. παρὰ τὸ προσρήσ-
-σεσθαι. ἐκεῖ τὰ κύματα ἀποτίθεσθαι.
ῥηγμὶν δὲ ὁ πρὸς ἄνεμον αἰγιαλός.

παρὰ τὸ προσεκύσσεσθαι ἐκεῖ τὰ κύμα:
:τα παρὰ τοῖς ποσί.

Παραὶ πλεονασμῷ τοῦ ῑ. ποιητικῶς.

παραὶ ποσὶ κάππεσε θυμός.

Παραίνεσις. εἰς τὸ σύμβουλον.

Παραπλῆτιν. εἰς τὸ πλῆτιν.

Πλήσιον λέξις σύνθετος. ἐκ τῆς παρὰ προθέσεως. καὶ τοῦ πλησίον. γίνεται παραπλήσιος. καὶ παραπλήσιον καὶ σημαίνει τὸ ἐμφερές. καὶ ὅμοιον. ὅ ἐγγὺς τοῦ ὁμοίου καὶ ἴσου.

παραίφασιν συμβουλεύειν. παραίνεσιν.

Παραιβάται οἱ ἐπὶ τῶν δίφρων ἢ ἁρμάτων ἑστῶτες.

παρακλιδών. ἐκ τοῦ παρακλίνω τὴν ὁδόν.

παραρριπτεῖσθαι. εἰς τὸ ῥίπτω.

Παρασάγγης. τὰ λ̄ στάδια παρὰ Πέρσαις. παρ᾽ Αἰγυπτίοις δὲ ξ̄. παρὰ Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ. ἐπὶ τοῦ ἀγγέλου λέλεκται. καὶ εἰς τὸ χοινο: β
:φόρος.

Παράσημα. ἀδόκιμα. τὰ κίβδηλα τῶν νομισμάτων. λέγεται.

παράσημα. παράστια.

παρατατικός. ὁ παρεκτείνων χρό-
νος. τείνω. τανῶ. ὁ παρακείμενος
τέτακα. καὶ ἐξ αὐτοῦ τατικός. καὶ
παρατατικός. καὶ τὸ ἑξῆς:

παραχεῖμα. ἐπίρρημα χρόνου
δηλωτικόν.

Πόρδαλις ὁ ἄρσην. πάρδαλις ἡ
θήλεια. ὁ μὲν ἀπὸ τοῦ πορδάλλεσθαι.
ἡ δὲ ἀπὸ τοῦ παράλλεσθαι.

Πάρδαλις. παρὰ τὸ ὀξέως τρέχειν
ἢ διὰ τὸ εἶναι ποικίλην.

Παρδαλέην. παρδάλεως δοράν. ὄνο-
μα. ἡ θήλεια παρδαλέη. ὥσπερ ἡ
λεοντῆ. καὶ τὸ ἀρσενικὸν πόρδαλις,
τὸ λε. ψιλόν. διατί. ἐπειδὴ οἱ ἴω-
νες τὰ διὰ τοῦ εος μετουσιαστικὰ
ἀποβάλλοντες. τὸ τ. τῆς ει διφ-
θόγγου. διὰ τοῦ εος προσφέρουσι.
ἐκπρέπειος. ἐκπρέπεος. παρδάλειας
παρδάλεος. καὶ ποτὲ λέγεται πάρ-
δαλις. καὶ ποτὲ πόρδαλις. παρατη-
ρητέον. ὅτι ἐπὶ μὲν τοῦ ζώου.
διὰ τοῦ ο δεῖ προσφέρειν. ἐπὶ δὲ
τοῦ δέρματος διὰ τοῦ α. καὶ γίνεται

πόρδαλις τὸ ζῶον παρὰ τὸ προάλ-
λεσθαι. καὶ ἀτάκτως κινεῖσθαι. πόρ-
δαλις καὶ πλεονασμῷ τοῦ δ. καὶ ἐν
ὑπερβιβασμῷ πόρδαλις. καὶ τὸ δέρ-
μα λέγεται παρδάλειος. καὶ τὸ ἰω-
νικὸν παρδάλεος. καὶ τὸ ἰωνικὸν
θηλυκὸν παρδαλέη. παρδαλῆ. καὶ
παρδαλέα αἰτιατική. τὴν παρδα-
λῆν περισπωμένως. ὡς λεοντέα λε-
οντῆ.

Πάρει. ἔω τὸ πορεύομαι καὶ τὸ πα-
θητικὸν ἔομαι. ἔει. καὶ κράσει εἶ.
καὶ μετὰ τῆς παρα προθέσεως πά-
ρει.

Πάρει ἦλθες. εἰμὶ τὸ ὑπάρχω. καὶ
τὸ δεύτερον εἶς. ἀποβολῇ τοῦ σ εἶ.
ἔστι δὲ δεύτερον πρόσωπον. σημαίνει
δὲ τὸ ὑπάρχεις. καὶ μετὰ τῆς παρα
προθέσεως πάρει καὶ πάρειμι. πά-
ρει πάρεισιν. πάρειμεν. πάρειτε
πάρεστε.

Παρέγγραπτος. παρὰ τὴν παρα πρό-
θεσιν καὶ τὸ γράφω. γίνεται πα-
ρέγγραφος καὶ παρέγγραφος λέγεται

δὲ παρέγγραπτος. ὁ παρὰ τὸ προσῆκον γεγραμμένος. τῷ ληξιαρχικῷ γραμματείῳ, ἤγουν ὁ νόθος.

Παραξίαν. παρὰ τὸ προσῆκον. παρὰ τὸ ἀξίωμα.

Παράκλητον. ἐκ τοῦ παρακαλῶ γίνεται παράκλητον. τὸ παρακεκλημένον.

Παρεμβολή. ὄνομα συνθέτον παρὰ τὴν παρα πρόθεσιν καὶ τὸ ἐμβολή. ὃ σημαίνει τὴν εἴσοδον. καὶ τὴν ὁρμήν. παρεμβολή καὶ συγκοπῇ παρεμβολή. καὶ σημαίνει τὸ στρατόπεδον.

Παρειά. ἡ σιαγών. ὄνομα οὐδέτερον ὡς θεῖα τῶν πληθυντικῶν. ἡ γὰρ τῶν ἑνικῶν οὐκ ἔχει. ὅτι τὰ ἀρσενικὰ ἢ θηλυκά. . . . ἤτοι αἱ παρειαί. τὰ παρειά τὸ ει δίφθογγον. κατὰ διάλεξιν οἱ γὰρ Αἰολεῖς. παρηά λέγουσι διὰ τοῦ η. ἐξ οὗ καὶ τὸ παρήϊον. τὴν γὰρ ει δίφθογγον εἰς η τρέπουσι. τὸ γὰρ πλεῖον διὰ τῆς ει διφθόγγου. πλῆον διὰ τοῦ η λέγουσι.

Παρειά δὲ εἶδος ὄφεως. ἔχον τὰς παρειὰς ἐπηρμένας.

Παρειά. ὅτι εὔρηται παρήϊα. κατὰ διάστασιν τοῦ ι. καὶ ἐκτάσει τοῦ ε. εἰς η. αἰολικῶς.

Παρεῖται. πάρεται. ἀφίεται. ἀπὸ τοῦ ἕημι. ὁ παθητικὸς ἐνεστὼς. ἕεμαι. καὶ κράσει εἶμαι. καὶ τὸ τρίτον εἶναι. καὶ παρεῖται.

Παρεκτικὸν ὄνομα ἢ δέ τερον. τὸ ἀρσενικὸν ὁ παρεκτικός. τοῦτο παρέχω. παρέξω. ὁ παρακείμενος παρῆχα. ὁ παθητικὸς παρεῖγμαι. παρῆκται. καὶ ἐξ αὐτοῦ παρεκτικός. τὸ κτητικὸν παρεκτικόν.

Παρέμπτωσις. εἰς τὸ ἔσο.

Πάρεσσο. ἐλθέ. παραγενοῦ. ἔστιν εἶμι τὸ πορεύομαι ὁ παθητικὸς ἐνεστὼς ἧμαι. ὁ παρατατικὸς ἥμην. τὸ δεύτερον ἧσο. καὶ τούτου τὸ προστακτικὸν ἔσσο. καὶ μετὰ τῆς παρὰ προθέσεως πάρεσσο.

Πάριστε. παρίστασθε. ἐκ τοῦ εἰμί.

ὅπερ οὐκ ἔστιν ἐν χρήσει· ἀλλὰ εἰμί.
τὸ πληθυντικὸν ἔμεν· καὶ πλεονασ
:μῷ τοῦ σ̄. ἐσμέν· καὶ τὸ δεύτερον
ἐστέ· καὶ μετὰ τῆς παρὰ προσθέσε
:ως· πάρεστε· καὶ ἀναβιβάζει τὸν
τόνον· διατί. πᾶν γὰρ ῥῆμα ὀξυνό
:μενον ἐν τῇ συνθέσει ἀναβιβάζει
τὸν τόνον· καὶ εἰ μὲν δισύλλαβον
εἴη τὸ ἁπλοῦν, τρίτην ἀπὸ τέ
:λους ποιεῖ τὴν ὀξεῖαν ἐν τῇ συν
:θέσει οἷον ἐστέ· πάρεστε· φημί·
ἀπόφημι· καὶ σύμφημι· εἰμί· σύνει
:μι· εἰ δὲ μονοσύλλαβον πρὸ τέλους.
οἷον· σχές ἀπόσχες· θοῦ· ἀπόθου· δοῦ
ἀπόδου· χεῦ ἀπόχευ·
πάρεξ· τὸ χωριστικὸν ἐπίρρημα· εἴ
:ρηται παρὰ τὴν ἐξ πρόθεσιν· ἥτις
δηλοῖ τὸ ἐκτός· καὶ τὸ μὲν ὀξύνεται.
τὸ δὲ βαρύνεται πρὸς διάφορον ση
:μαινόμενον καὶ τὸ μὲν βαρυνόμε
:νον· χωρὶς μὲν σημαίνει· καὶ συντάσ
:σεται γενικῇ· τὸ δὲ ὀξυνόμενον
ἰσοδυναμεῖ τῷ παρὰ ἢ τὴν ἐξ· ἥτις

θυμαίνει τὴν ἔξω σχέσιν.

Παρωχμένας· οἱονεὶ παρεληλυθυίας.

Πάρεργον· τὸ ἐκ φιλόν· εἴρηται δὲ
παρὰ τὸ παρεῖναι· τουτέστι παρὰ
τὸ λελῆσθαι.

Παρέχειν· καὶ παρέχεσθαι διαφέρει.
παρέχειν οἷον ἐστὶ τὸ ἔκπωμα· πα-
ρέχεσθαι δὲ τὰς τῆς ψυχῆς διαθέ-
σεις δηλ.

Παρέχειν καὶ παρέχεσθαι διαφέρει.
παρέχει μὲν γὰρ λέγεται· τὰ διὰ
χειρὸς διδόμενα, οἷον ἐσθήματα· πα-
ρέχει μέν τις ἐσθῆτας· καὶ ἐκπώμα-
τα καὶ τὰ τοιαῦτα· παρέχεται
δὲ προθυμίαν καὶ εὔνοιαν.

Παρῆκαν· ἀντὶ τοῦ ἐπλήρωσαν· ἐκ
τοῦ πάρειμι· παρήσω· παρῆκα.

Παρίσθμια· τὰ περὶ τὸν φάρυγγα.
παρὰ τὸν ἰσθμόν· ἰσθμὸς δὲ ἐστιν ὁ
στενὸς τόπος, δι' οὗ εἰσίενται τὰ ἐσθι-
όμενα καὶ πινόμενα.

Παρετέον· παρὰ τὸ παρεῖναι καὶ
ἀφεῖναι εἴρηται.

παρέχειν καὶ παρέχεσθαι διαφέρει.
παρέχειν μὲν λέγεται τὰ διὰ χειρὸς
διδόμενα, οἷον ἐσθήματα καὶ πόματα.

τὸ δὲ παρέχεσθαι λέγεται ἐπὶ τῶν
τῆς ψυχῆς διαθέσεων· οἷον ἐπιθυ-
μίαν ἢ εὔνοιαν· Θουκυδίδης καὶ
πᾶν τὸ πρόθυμον παρεχόμενον.

Παρήορος· παρῃωρημένος· τὸ σῶμα·
τουτέστιν ἐγκεκλιμένος· ἐν ἄλλῳ.
νῦν δὲ ἀντὶ τοῦ μεγάλως παρεωρη-
μένος· καὶ εἰς μῆκος ἐκτεταμένος.

Παρῳχημένοι ἐκβεβλημένοι· ἀποκε-
χωρισμένοι καὶ οἱονεὶ καθῃρημένοι.
ἀπὸ τοῦ αἴρω ὃ σημαίνει τὸ βάλ-
λω· ὁ παρακείμενος ἦρκα· ὁ πα-
θητικὸς παρακείμενος ἦρμαι· καὶ
ἡ μετοχὴ ἀρσενική· ἠρμένος· καὶ
τὸ θηλυκὸν ἠρμένη· καὶ ἡ αἰτιατι-
κὴ ἠρμένην καὶ παρῃρημένην.

Παρθενία· ὅτι παρὰ θεοῦ ἐδόθη·
φησὶ γὰρ ἔλαβε Κάϊν· ἑαυτῷ γυναῖ-
κα· τουτέστιν ἐκ τοῦ θεοῦ.

Παρθενία· σύνθετος παρὰ τὴν παρὰ
πρόθεσιν· καὶ τὸ θένη τὸ σημαῖνον
τὸν μαζόν· ἢ οἱονεὶ ἔγγυς· ἔξω τοῦ
μαζοῦ τουτέστι σχεδὸν ὑπομάζιος.
παρὰ τὸ ἀθένειν καὶ παρέχειν τῇ-
μεῖ· τουτέστιν ἡ τις ἔτι μικρὰ καὶ νήπιος.

παρθενία σωφροσύνης διαφέρει.
καὶ παρθένος σώφρονος. καθ' ὃ ἡ μὲν
παρθένος. σώφρων ἐστὶ πάντως. ἡ
δὲ σώφρων οὐ πάντως παρθένος.
Παρθένος. παρὰ τὸ θέλειν ῥαδίως
αὐτὴν τὴν ἀκμήν. ἢ παρὰ τὸ παρεῖναι
αὐτῇ τὸ θέλγεσθαι καὶ γαμεῖσθαι.
Παρθένος. παρὰ τὸ θέλειν τὴν παρ=
=θενικὴν ἡλικίαν ἢ παρὰ τὸ θείνω τὸ
φονεύω. θένος. καὶ μετὰ τῆς παρὰ
προθέσεως. ἢ τὸ πρὸ τῆς πυρώσεως
θανατοῦσα. ἢ παρὰ τὸν θήσω
μέλλοντα. τὸ δηλῶ τὸ θηλάσω.
—— γυναῖκα μὴ θήσατο μάζω.
ῥηματικὸν ὄνομα θήνη. καὶ μετὰ
τῆς παρὰ παραθήνη. καὶ ἐν συγκοπῇ
καὶ τροπῇ παρθένος. ἢ περὶ ταύτην
τὴν ἡλικίαν γεννηθεῖσα. καθ' ἣν ὡ=
=ραν ἔχει ἐκθρέψαι τε καὶ κινῆσθαι
μαζούς. οὓς ἡ φύσις ἔταξε. τὰς γὰρ
μικρὰς παῖδας οὐ προσαγορεύομεν
παρθένους. ἐπὶ τὰς ἤδη ἐπὶ τῷ
γυναῖκα —— εἶναι οὔσας. οἱ δὲ φασίν·
ἢ παρ' οὐδενὸς οὐδὲν χάζουσα εἰς

ἔδνον. σημαίνει δὲ δύο. τὴν παρθέ-
νον γυναῖκα. καὶ τὸ ἄστεον. καὶ εἰς
τὸ γυνή.

Παρθένος. πυρθάνος τις οὖσα. κατὰ
τὸ πλέωσιν θανατοῦσα τῆς σαρκός.

Παρθένος. παρὰ τὸ τῇ μεῖ παρα-
θέτειν. ἢ παρὰ τὴν παρὰ πρόσθεσιν.
καὶ τὸ θέων. ὃ σημαίνει τὸν μαζόν.
ἢ ἐγγὺς οὖσα τοῦ μαζοῦ.

Πάρθινα. παρὰ τὸ θείνω. τὸ τύπτω.
τὸ θὶν σημαίνει δύο. τὸν σωρὸν καὶ
τὸν αἰγιαλόν. καὶ ὅτε δηλοῖ τὸν σω-
ρὸν κλίνεται ἀρσενικῶς. ὁ θὶν τοῦ
θινός. ὅτε δὲ τὸν αἰγιαλὸν θηλυκῶς.

παρθενοπίπα. ἐκ τοῦ παρθένος καὶ
τοῦ πιπῶ. ὃ σημαίνει τὸ ἀπατῶ.

Παρθενοπίπης. σημαίνει δὲ τὸν πα-
ραβλεπόμενον τοὺς παρθένους. διὰ
τοῦ η γράφεται. οἷον παιδοπίπης.
γυναικοπίπης. πυροπίπης. ὡσαύτως
καὶ παρθενοπίπης διὰ τοῦ η.

Πάρειμεν. ἐκ τοῦ εἶμι τὸ πορεύομαι
τὸ πληθυντικὸν ἴμεν.

Πάρις. πάριδος. ὁ υἱὸς ἑκάβης. ἐκ-
λήθη ἀλέξανδρος. ὁ καὶ πάρις. παρὰ
τὸ πάρ. καὶ τὴν ἴδην. ἐν ὁράματι
γὰρ ἡ Ἑκάβη ἐνόμιζε δαλὸν τίκτειν,
ὅστις κατέφλεξε τὴν πόλιν καὶ τὴν
ἐν τῇ ἴδῃ ὕλην. καὶ τούτου χάριν
τεχθέντος, ἐν τῇ ἴδῃ τοῦτον ἐπέρριψε.

Πάροιθεν. εἰς τὸ οὐρανόθι καὶ προ-
πάροιθεν.

Παροιμία. εἰς τὸ αἶνος.

Παροιμία. ἐκ τῆς παρὰ προθέσεως.
καὶ τοῦ οἶμος. ὃ σημαίνει τὴν ὁδόν.
γίνεται παραμία. καὶ παροιμία.
κέκληται δὲ παροιμία. τὸ παροδικὸν
διήγημα. διὰ τὸ παρὰ τὴν ὁδὸν κε-
κλῆσθαι. καὶ εἰς τὸ αἶνος.

Παροιμία. κυρίως μὲν ἀπόκρυφος
λόγος. καταχρηστικῶς δὲ πᾶν προο-
δικὸν διήγημα. οἶμος γὰρ ἡ ὁδός.
καὶ ἄλλως.

Παροιμία. λόγος ὠφέλιμος. ἤτοι βι-
ωφελὴς παρὰ τὴν ὁδὸν λεγόμενος.

Παρομαρτοῦντες. παρακολουθοῦντες

ἢ συντυχόντες ἀπὸ τοῦ ὁμαρτῶ. τοῦτο παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. γίνεται ὄνομα ἀρτός. καὶ ἐξ αὐτοῦ ἀρτῶ. καὶ ἐν συνθέσει ὁμαρτῶ καὶ ὁμαρτήσαντες οἱονεὶ ὁμοῦ ἁρμοσάμενοι.

Πάρος. ἐκ τοῦ πρός. καὶ μικρόν τι πρό. ἀντὶ τοῦ ἔμπροσθεν. ἤτοι πρότερον.

Παρρησία. παντορησία εἰς ὅσα. ἢ παρρησία. ἡ πάντα ἐν ἑαυτῇ ἔχουσα καὶ λέγουσα.

Παρώχηκεν. εἰς τὸ ἀνήκει.

Πᾶς. εἰς τὸ ὅλος. καὶ ὁ πάς.

Πάσσαν τὸ ἐποίκιλλε. καὶ πόθεν δῆλον ὅτι σημαίνει τὸ ἐποίκιλλεν. ἐπειδὴ καὶ τὰ ποικίλα παραπετάσματα παστοὶ καλοῦνται.

Πάσσω εἰς τὸ ἔπασαντο.

Πάσσων παρὰ τὸ παχὺς πάσσων. ὡς παρὰ τὸ βραδὺς βράσσων. καὶ ὅμηρος

ἀλλά τέ οἱ βράσσεται νόος.

Πάσσαλος ξύλον ἐπίμηκες ἐμπηγνύμενον

πρὸς τῇ γῇ· πρὸς τὸ κρατεῖν τὴν
τὴν δαν· ἢ πρὸς τὸ κρεμᾶν τι.

Παρώνυμον· παρὰ τὴν παρὰ πρόθεσιν.
καὶ τὸ ὄνομα γίνεται παρώνυμον. καὶ
παρώνυμον οἷονεὶ τὸ ἐκ τοῦ συμβε-
-βηκότος καλούμενον ὄνομα.

Παστέλι· σημαίνει τὴν τελευταίαν β
ἡμέραν τοῦ ἐνιαυτοῦ καὶ γίνεται ἐκ
τοῦ πᾶς καὶ τοῦ τέλους παστέλι.
καὶ πλέον ἀσήμου τοῦ τ γίνεται· δίφ- Ι'
-θογγον· ἐν ᾗ τελοῦνται πάντα τὰ τοῦ
ἐνιαυτοῦ.

Παστός· παρὰ τὸ πάσσω τὸ ποικίλλω.

Πασσᾶλαι· τροπῇ τοῦ μ εἰς π· οἷον
μασσᾶλαι. καὶ τροπῇ τοῦ τόνου.

Παστός· παρὰ τὸ πάσσειν· ὃ σημαίνει
τὸ ποικίλλειν.

Πάσχω· μέλλοντα οὐκ ἔχω· τὰ εἰς σχω
λήγοντα ῥήματα· μέλλοντας οὐκ
ἔχουσιν· οἷον ἐρέσχω· ἄσχω· πάσχω.
καὶ τὰ ὅμοια.

Πάσχειν καὶ συμπάσχειν διαφέρει.
καὶ ὁ πάσχων τοῦ πάσχοντος· ὁ μὲν
γὰρ πάσχων· ἀλγεῖ. ὁ δὲ συμπάσχων
λυπεῖται μὲν ἐπὶ τῷ τοῦ πάσχοντος.

παθεῖ. οὐ μέν τοι ὁ συμπάσχων ἀλγεῖ.
καθάπερ ὁ πάσχων. οἷον πυρέττει
τὶς τῶν φίλων σφόδρα. συμπάσχομεν
τούτῳ πυρέττοντι. οὐ μέν τοι καὶ
πυρέττομεν.

Πάσχω. τὸν μέλλοντα οὐκ ἔχει. διατί
τὰ εἰς χω λήγοντα ῥήματα μετ' ἐ-
-πιπλοκῆς συμφώνου ἄχει τοῦ παρα-
-τατικοῦ κλίνονται. οἷον ἐρέθω. ἄχθω.
τρέχω. πάσχω. καὶ τὰ ὅμοια.

Πάσω. εἰς τὸ πιός.

Πασῶν ὁ τόνος παραλάσσουσι δὲ τῇ
φωνῇ καὶ τῷ τόνῳ.

Πατάσσω. παρὰ τὸ πτῶ τὸ φοβοῦ-
-μαι. πτήσσω ὁ μέλλων. καὶ συστολῇ
τοῦ η. εἰς α. πτάσσω καὶ ἐν πλεονασ-
-μῷ ἑτέρου τ̄ πτάσσω καὶ πατάσσω.
μεταγομένου τοῦ μέλλοντος εἰς ἐνεστῶ-
-τα.

Πατάξαντι μετοχή. παρὰ τὸ πατάσ-
-σω πατάξω. ἢ παρὰ τὸ ἴς. ἰνός. ὃ
σημαίνει τὴν δύναμιν.

Πάτος ὁδός. ἢ δυστυχία.

Πατραλοῖος. ὁ τὸν πατέρα ἀτιμάζων.

τουτέστι τύπτων. ἀλλοιοῦν γὰρ τὸ
συντρίβειν ὑβριστής καὶ μητρολοίας
ὁ τὴν μητέρα ἀτιμάζων.

Πατὴρ καὶ πάππος λέγεται· παρὰ
τὸν ἦχον γενόμενον ἐν τῷ καταφι-
-λεῖν τὰ παιδία. ἢ ἀπὸ τῆς τῶν
παιδίων τῶν μικρῶν προσφωνήσεως.

Πατήρ· ἐπὶ μὲν τοῦ θεοῦ. ὁ τὰ πάν-
-τα τηρῶν καὶ κατασκευαστικῶς. ἐπὶ
δὲ τοῦ ἀνθρώπου κυρίως. ὁ τοὺς
ἰδίους παῖδας τηρῶν.

Πατήρ· ἀπὸ τοῦ σπείρω· ὁ παθητι-
-κὸς παρακείμενος ἔσπαρμαι· τὸ τρί-
-τον ἔσπαρται. καὶ ἐξ αὐτοῦ πατήρ.
ἀποβολῇ τοῦ σ. ἢ παρὰ τὸ πατεῖν
ἐν τῇ συνουσίᾳ. ἡ δὲ μεταφορὰ ἀπὸ
τῶν ἀλόγων ζώων.

Πατρακουστής. πατρακουστοῦ. ὄνομα
μετοχικόν. τὸ ῥῆμα ἀκούω. ὁ μέλ-
-λων ἀκούσω ὁ παρακείμενος ἤκουσα.
ὁ παθητικὸς παρακείμενος ἤκουσμαι.
καὶ τὸ τρίτον ἤκουσται· ἠκουστής.
καὶ μετὰ τοῦ πατὴρ πατέρος καὶ

κατὰ συγκοπὴν πατρός· πατρακου-
-στης. ὁ τοῦ πρὸς ἀκούσας.

Πάτρης. παρὰ τὸ πάτρια. λέγεται
δὲ ἡ πρίς.

Πατρίκιος ὄνομα ἀπὸ τοῦ κοινοῦ.

Πατριῶται. εἰς τὸ πολῖται.

Πατρῶα. καὶ πτρικοί. καὶ πάτρια
διαφέρει. πατρῶα μὲν γὰρ τὰ ἐκ
πατέρων εἰς υἱοὺς χωροῦντα. πατρικοὶ
δὲ οἱ φίλοι ἢ ξένοι. πάτρια δὲ τὰ
τῆς πατρίδος ἔθη.

Πατρῶος ἐστὶ πατὴρ πατέρος πα-
-τρός καὶ τὸ κτητικὸν πατρόϊος. καὶ
κατὰ παράξυσιν τοῦ ο. εἰς ω πατρῶ-
-ος. ἔχει δὲ καὶ τὸ ι. τὰ γὰρ κτητι-
-κὰ. τὸ ι. θέλουσι παραλήγεσθαι.
ἢ ἐκφωνούμενον ὡς τὸ θεῖον καὶ
θεῖον. καὶ τὸ ἅγιον. ἢ ἀνεκφώνητον.
ὡς τὸ πατρῶος. μητρῶος.

Πατρῷον. ὄνομα κτητικόν. πόσας
καταλήξεις ἔχουσι τὰ εἰς ος κτητι-
-κα . . . πόθεν
παράγονται. εἰς κος κτητικά. ἀπὸ
τῶν γενικῶν τῶν ὀνομάτων πλὴν

τειων. ἁλυκός. λιβυκός. ἁλμυρός.
ἐξ οὗ καὶ τὰ ἁλμυρὰ νάματα τῆς
θαλάσσης. τί διαφέρει πατρῷος καὶ
πατρῶος. πατρῷος λέγεται. ὁ πα-
ρὰ τῇ συνηθείᾳ λεγόμενος πάτριος.
πατρῶος δὲ τὸ κτητικόν. πατρῶος
δοῦλος. πρῶον κτῆμα καὶ διαλύει
πατρῷον

Πατρωνυμικόν. εἰς τὸ ἀτρείδης.
τί διαφέρει παφλάζω καὶ καχλά-
ζω. παφλάζω μὲν ἐπὶ πυρός. κα-
χλάζω ἐπὶ κακάβου.

Παῦρα. ἀναρίθμητα. ὀλίγα. τὸ ἀρ-
σενικὸν παῦρος καὶ σημαίνει τὸ
ὀλίγον. παρὰ τὸ παύω. παυρός.
ὁ μὴ μέχρι πολλοῦ διήκων. ἀλλὰ τα-
χέως παύων. τὸ γὰρ ὀλίγον. τα-
χέως παύεται. τὸ συγκριτικόν
παυρότερος. καὶ εἰς τὸ ἀφαυρά.

Παῦσαι. ἐκ τοῦ παίω. παύσω.
τὸ παι δίφθογγον. τὰ εἰς ω λή-
γοντα ῥήματα καθαρά. εἰ μὲν ἐπι-
δέχονται ἐπὶ δευτέρου καὶ τρίτου
προσώπου συναίρεσιν. διὰ τοῦ ε

ψιλοῦ γράφονται· οἷον πλέω· πλέεις. πλεῖς· ῥέω· ῥέεις· εἰ δὲ μή· διὰ τῆς αι διφθόγγου οἷον παίω τὸ τύπτω. κλαίω· καίω· καὶ εἴ τι ὅμοιον· ἐκ τοῦ παίω· παύσω· τὸ γὰρ ἀποβαλλόμενον ῑ ἐν τῷ ἐνεστῶτι· ἐν τῷ μέλλοντι ῡ· γίνεται.

Παυσωλή· ἡ κατάπαυσις.

Πειρίθους· διὰ τῆς ἱστορίας τοῦτο δεῖ μανθάνειν· ὁ Ζεὺς γὰρ ὁμοιωθεὶς ἵππῳ περιέτρεχε τὴν μητέρα αὐτοῦ· καὶ οὕτω συνῆπτο αὐτῇ· καὶ ἐκεῖθεν οὕτως ἐτέχθη· παρὰ οὖν τὸ περιθέειν γέγονε πειρίθους καὶ πλεονασμῷ τοῦ ῑ πειρίθους· ἄλλως τε καὶ οἱ Δωριεῖς· πειρίθους λέγουσι διὰ τοῦ ῑ· ἔθος γὰρ ἔχουσι τὴν ει· εἰς ῑ τρέπειν· ὡς πολλὰ εἴρηται· ἰστέον δὲ ὅτι κατὰ δύο τρόπους τὸ πειρίθους ὑπάρχει· πρῶτον μὲν ὅτι ἀπὸ πλεονασμοῦ ἔχει τὸ ῑ· οὐδέποτε δὲ περὶ πρόθεσις πλεονάζει δεύτερον δὲ διὰ τοῦ ῑ· παρὰ τοῖς Δωριεῦσιν· οὐδέποτε δὲ

οἱ Δωριεῖς τρέπουσι τὴν ει δίφθογ-
γον εἰς τὸ η. αὐτὴν ἔχουσι ἀπὸ
πλεονασμοῦ τοῦ ι. οἷον ξένος ξεῖνος.
οὐ λέγουσι διὰ τοῦ η. εἰ οὖν τὸ
πιείσθους ἀπὸ πλεονασμοῦ ἔχει
τὸ ι. δῆλον ὅτι παραλόγως. παρὰ
τοῖς Δωριεῦσι διὰ τοῦ η. γράφεται.

Πάχνη. παρὰ τὸ πήσσω. τὸ πηγνύ-
ω. τὰ δὲ παρὰ τὸ πήσω ἅπαντα
διὰ τοῦ η γράφονται.
Πάχνη παρὰ τὴν πῆξιν. πάγη
τις οὖσα.
Πείκειν σημαίνει τὸ ξαίνειν. διὰ τῆς
ει διφθόγγου γράφεται. πρῶτον μὲν
ὅτι πεῖν τὸ σημαίνον τὸ κτενίζειν.
ἐξ οὗ καὶ παρὰ τῷ ποιητῇ.

Πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινούς.
γέγονε πέκειν. καὶ πλεονασμῷ τοῦ ι πεί-
κειν. δεύτερον δὲ διὰ τῆς ει διφθόγγου
γράφεται. ὅτι ἐπειδὴ αὐτῇ παράκει-
ται αὐτῷ τὸ πόκος. τὰ δὲ ἔχοντα
τὸ ε. ἀντιπαρακείμενον. ἔχουσι
τὸ ο ἐγκείμενον. οἷον λείβω. λοιβω.
οὕτω καὶ παρὰ τὸ πείκω πόκος.

παφλάζω· ἀναβράζω· ἐκ τοῦ φλῶ.
κατὰ παραγωγὴν φλάζω· καὶ κατὰ
ἀναδιπλασιασμὸν παφλάζω· τὸ
θηλυκὸν· ἡ μετοχὴ παφλάζουσα.
ἐκβράζουσα πυρὶ καὶ καχλάζουσα.
τί διαφέρει παφλάζω καὶ καχλάζω.
παφλάζω μὲν ἐπὶ πυρός· καχλά-
ζω δὲ ἐπὶ κανάβου.
Πάχνη· παρὰ τὴν πῆξιν· ἔστι δὲ ἄ-
νεμος ψυχρός· παγώδης.
Παχὺς· ἐκ τοῦ πάχης· τοῦτο ἐκ
τοῦ πήσσω· τὸ πηγνύω.

τὸ Π μετὰ τοῦ Ε.

Πέδας ἡ ὠθεῖα· ἡ πέδη· τῆς πέδης
καὶ τὰς πέδας· τοῦτο παρὰ τὸ
πεδῶ πεδήσω· τοῦτο παρὰ τὸ
πούς ποδός· γίνεται ποδῶ· καὶ τρο-
πῇ τοῦ ο· εἰς ε· πεδῶ πεδήσω.
πεδῆσαι γὰρ κυρίως· τὸ τοὺς πόδας
δεσμῆσαι.
Πέδη· παρὰ τὸ πιέζειν τοὺς πό-
δας· τὸ πη ψιλόν· ἡ πέδη τό—

ὄνομα. τὸ δὲ ῥῆμα πεδῶ. πεδᾶς πεδᾶ. πεδήσω. ὁ μέλλων.

πέδος. πεδισμός. παρὰ τὸ πιέζειν ἢ παρὰ τοὺς πόδας. ὥσπερ παρὰ τὸ ὀβολὸν, τὸ ἡμιωβόλον.

Πέδιλα. ποδάλια τινὰ ὄντα. παρὰ τὸ ἐν τῷ ποδὶ εἰλεῖσθαι. καὶ ἔδει πέδειλα διὰ τῆς ει διφθόγγου γράφεσθαι. ἀλλὰ οὐ πάντως τὰ ῥηματικὰ τῶν ὀνομάτων φυλάσσει τὴν γραφὴν τοῦ ῥήματος. ἰδοὺ γὰρ παρὰ τὸ εἴρω ἶρις. νείφω. νιφάς. λείβω. λιβάς. ἢ δεύτερον.

Πέδιλα τὰ ὑποδήματα. παρὰ τὸ περὶ τὰς πόδας εἰλεῖσθαι. καὶ ὤφειλε διὰ τῆς ει διφθόγγου. ἐπειδὴ οἱ Αἰολεῖς πέδιλλα λέγουσι. καὶ οὐχὶ πέδειλα. ἔστι δὲ συνθέτου.

Πέδιλα. παρὰ τὸ ἐνειλεῖσθαι αὐτὰ τοῖς ποσίν. ὅ ἐστι περιτίθεσθαι, ἢ παρὰ τὴν ἕλην. τὰ τοὺς πόδας θερμαίνοντα.

Πέδιλα τὰ ὑποδήματα οἱονεὶ —

ποδόκιλα τὰ περὶ τοὺς πόδας εἰλούμενα.

πεδίον τὸ δι. τ. διατί· ἐκ τοῦ πέδον· πέπτεται τὸ βραχὺ εἰς βραχὺ καὶ γίνεται πεδίον. τὸ πέδιλον· διατί· ἐκ τοῦ πέδον ὃ σημαίνει τὴν γῆν.

πέδον καὶ πεδίον τί διαφέρει· πέδον τάσσεται ἐπὶ τοῦ οἰκήματος. πεδίον δὲ ἐπὶ τοῦ ἀναπεπταμένου καὶ μακροῦ καὶ ἐπιμήκους τόπου. διατί δὲ οὐ προπαροξύνεται. ὡς ὑποκοριστικόν· τὰ γὰρ διὰ τοῦ ιον ὑποκοριστικὰ τριβραχέα προπαροξύνεται. τοῦτο δὲ οὐκ ἔστι ὑποκοριστικόν· ὑποκοριστικὸν δὲ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν. διαφέρει δὲ πεδίον καὶ πεδίον· πεδίον λέγεται προπαροξυτόνως. τὸ ὑποκοριστικὸν τῆς πέδης· ὁ μικρὸς δεσμός· πεδίον δὲ ἡ γῆ· τὸ δὲ πεδίον μεῖζον ἐστὶ ἐνθυμαινομένου τοῦ πέδου.

Πεδινός· τόπος ὁμαλός· ἐκ τοῦ πέ-
δοι ἐπίρρημα.

Πέδιον ἡ γῆ· διατί τρία βραχέα ἔχει,
καὶ παροξύνεται· πρὸς ὃ λεκτέον.
ὅτι καθὸ μὲν περιεκτικῆς ἐννοίας
ἔχεται. περιεκτικὸν δέ ἐστι πολ-
λῶν γηδίων· παροξύνεται. καθὸ δὲ
ὑπέπεσε τῷ τῶν ὑποκοριστικῶν
χαρακτῆρι διὰ τοῦ ῑ· γράφεται.

Πέδον καὶ πέζον· καὶ πεζεύειν· τὸ
πε ψιλόν· παρὰ τὸ τοὺς πόδας ἕζειν.
ἤγουν καθίζειν. καὶ εἰς τὸ ἐμπεδοῦσθαι.
καὶ πεπλοκότα. καὶ πεδόντα.

Πέζα· ὁ πούς· παρὰ τὸ πέδω ἕζεσθαι.
καὶ εἰς τὸ περιπέζα.

Πεζέταιρος· ὁ συμπαίζων τοῖς ἑτέ-
ροις.

Πεζέταιρος· ὁ πεζὸς ἑταῖρος.

Πεζαίτερος· δὲ ὁ πεζικώτατος.

Πειθήνιος· παρὰ τὸ πείθω καὶ
τὸ ἡνίον· ὃ σημαίνει τὸν λῶρον τοῦ
χαλινοῦ.

Πειθήνιος ὁ πειθόμενος τοῖς ἡνίοις.

Πείθοιτο· καὶ πειθοίατο· εἰς τὸ φραβαίατο.

Πείθω· εἰς τὸ αἷμα· καὶ γεγηθότως. καὶ πεῖρα· καὶ τϊλικώτερον· τὸ ἀπϊθῶ διὰ τοῦ ι.

Πείθω τὸ καταπείθω· ὁ μέλλων πείσω· ἐξ οὗ ἀμετάπιστος· καὶ ἀπιθῶν καὶ ἠπίθουν.

Πείθω· τὸ ἐλπίζω· ἐξ οὗ καὶ πίστις· ἀμφότερα διὰ τῆς ει διφθόγγου· πείθω δὲ τὸ πανθάνω· ἐξ οὗ καὶ πύθεσθαι.

Πεῖνα· παρὰ τὸ πένω τὸ ἐνεργῶ. τὸ πει δίφθογγον· τὰ ἶνα θηλυκὰ διὰ τοῦ ι· γράφεται· πλὴν τοῦ πεῖνα.

Πεινῶ· διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ πεῖνα γέγονεν· ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ γὰρ τοῦ πένω γέγονεν· ἐξ οὗ καὶ τὸ πένομαι· πένα γὰρ καὶ πλεονασμῷ τοῦ ι· πεῖνα.

Πειρατής· ἤτοι παρὰ τὸ πείρειν
—— ἀλγινὰ κύματα πείρων.

ἢ παρὰ τὴν πεῖραν· ὃ δηλοῖ τὴν ἔφοδον

Πείνη· πεῖνα ἐπὶ ἄρτου. ὁ λιμός· ἀπὸ γὰρ τοῦ πεῖνα πείνη λέγουσιν οἱ Ἴωνες.

Πεῖρα ἡ γνῶσις· παρὰ τὸ πείθω τὸ πιστεύω· καὶ πεῖρα ὁ πειρασμός. πεῖρα δὲ πήρας διαφέρει· πεῖρα μὲν γάρ ἐστιν ἡ ἐπιστήμη καὶ ἐμπειρία· πήρα δὲ τὸ ἰατρικὸν ἐγχειρίδιον· καὶ δερμάτιον ἀρτοφόρον ὃ ἐπὶ τῶν ὤμων φέρουσιν οἱ ποιμένες.

Πειραιεύς· διὰ διφθόγγου ὄνομα κύριον· καὶ Ἀττικῶς ὁ λιμήν. ἐκ τοῦ περῶ περαιῶ· περαιεύς· καὶ πλεονασμῷ τοῦ ι πειραιεύς· ἢ ἐκ τοῦ πεῖρα πειραιεύς καὶ πειραιεύς.

πυραιεὺς δὲ ὁ μετὰ πυρὸς ἁλιεύων.

Πειραιεὺς πλεονασμῷ τοῦ ι· περαιεύς τις ὤν· ἦν γὰρ ὅτε οὐ συνήπτετο τῇ γῇ· ἀλλ' ἦν νῆσος.

Πειρασμός· παρὰ τὸ πειράζω ὃ σημαίνει τὸ καταλαμβάνω· καὶ πολεμῶ.

Πειρήνη· ἔστι πηγὴ ἐν Κορίνθῳ· διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ πέρας γέγονεν ἄπερος· καὶ πλεονασμῷ τοῦ ι· ἄπειρος· καὶ ἐντεῦθεν ἀπειρήνη· ὅ ἐστι· πολλή· κατὰ ἀποβολὴν τοῦ α πειρήνη. ἢ ἀπὸ Πειρῆνος τινὸς ὀνομάσθη. ὅπερ ἀπὸ τοῦ πέρας γέγονε περῶ. καὶ πλεονασμῷ τοῦ ι· πειρήν. ἢ ὅτι παρὰ τὸ πεῖρα γέγονε πειρήνη· τὸ δὲ πεῖρα δέδεικται διὰ τῆς ει διφθόγγου γράφεσθαι.

Πειρατήριον· ἀπὸ τοῦ πεῖρα· ὃ σημαίνει τὴν ἐμπειρίαν· τοῦτο δὲ γίνεται παρὰ τὸ πείθω· ἢ παρὰ τὸ περῶ· τὸ τελειῶ.

Πέζη· ἡ πεζοῦσα· πέζη δὲ τὸ ἱμάτιον.

Αὐτίκ' ἀνάσχομαι λευκοῖς ἐπὶ γούνασι πέζη.

Πεῖσμα· εἴτε ἐπὶ τοῦ παρὰ τῇ συνηθείᾳ λεγόμενον· εἴτε ἀπὸ τῶν ἀπογείων σχοινίων· διὰ τῆς ει

διφθόγγῳ. παρά γάρ τό πείθω. πείσω γέγονε. καί γάρ τά ἀπόγεια σχοινία πείθει.

Πεῖσμα. τό σχοινίον. παρά γάρ τό πείθω ῥῆμα ἐστι. ἔστι δέ τό πρυμνήσιον. ᾧ πείθεται ἡ ναῦς. καί ἵσταται. καί ὁ πείθειν τήν ναῦν ποιοῦσι. πόσα σημαίνει. τό πείρω ῥῆμα βαρύτονον. πείρω τό σουβλίζω καί κεντῶ. ἐξ οὗ καί πεῖρος καί πεῖρα. καί πειρεῖς. πείρω τό τελειῶ. ἐξ οὗ καί πέρας τό τέλος. πείρω τό περῶ. ἐξ οὗ καί πόρος καί πέραμα. πειρῶ ἐξ ῥῆμα περισπώμενον. σημαίνεται. πειρῶ τό δοκιμάζω. ἐξ οὗ καί πεῖρα ἡ δοκιμή. πειρῶ τό τεχνάζω. ἐξ οὗ καί πεῖρα ἡ τέχνη. πειρῶ τό γινώσκω. ἐξ οὗ καί πεῖρα ἡ γνῶσις. πειρῶ. τό πειράζω. ἐξ οὗ καί πειρατής. ὁ ἐν θαλάσσῃ ληστεύων καί πειρασμός. πειρῶ τό διαφθείρω. ἐξ οὗ καί

πτεῖρα ἡ φθορά· πτείρω τὸ σπουδάζω· ἐξ οὗ καὶ πτεῖρα ἡ σπουδή· πτείρω τὸ βούλομαι· ἐξ οὗ καὶ πτεῖρα ἡ βουλή· καὶ πτείρω τὸ ἐκτυφλῶ.

πτέζος ὁ ἐμποδὸς μαχόμενος· πέζαι γὰρ οἱ πόδες· διὸ καὶ ἀργυρόπεζα.

πτερήν· παρὰ τὸ πτέρας γέγονε πτερήν· καὶ ἐν πλεονασμῷ τοῦ τ πτερήν. ὅμηρος.

πτέρσαι· παρὰ τὸ πτερσῶ· ἢ παρὰ τὸ πτερῶ· πτερᾶς· ἔπτερσα καὶ τὸ προστακτικὸν πτέρσαι· καὶ τροπῇ τοῦ α· εἰς η πτέρσαι.

Πτέρινθον· σημαίνει τὸ τετράγωνον τὸ τιθέμενον ἐπάνω τῆς ἁμάξης· παρὰ τὸ παραθέτειν γέγονε πτέρινθος· καὶ ἐν πλεονασμῷ τοῦ τ· πτέρινθος· καὶ σκόπει ὅτι οὐ μόνον ἐπὶ τοῦ πτερίθους ἡ πτερι πρόσθεσις ἐν πλεονασμῷ τοῦ τ· ἐπεὶ καὶ ἐπὶ τὰς πτερίνθους.

Πτελαργός· παρὰ τὸ πέλειν ἀργός.

Πεντηκοστός· τό τη· π· διατί
ἐκ τοῦ πεντήκοντα· καί ἐκεῖνο διατί·
τά εἰς κοντα λήγοντα ἀριθμητικά,
ἤ τῷ ᾱ παραλήγεται οἷον τριά-
-κοντα· ἤ τῷ η̄· οἷον πεντήκον-
-τα·

Πειρῶ τό ἀπόπειραν ποιοῦμαι.
πείρω δέ τό σουβλίζω· καί διαπει-
-ρῶ τό κεντῶ καί τιτρώσκω.
ἐξ οὗ καί περιέπειρον.

Πέλλας· ποιμενικάς σκαφίδας
ὁμολγοὺς γάλακτος· ἤ φιάλαι· τό
πέλλας σημαίνει δύο· τά ἀγγεῖα
καί τόν πλησίον.

Πέκω· εἰς τό ἱεροπόκος

Πέλλας· ξύλινα ἀγγεῖα· παρά τό
πεπελεκεῖσθαι.

Πέλας ὁ γείτων· εἰς τό πλησί-
-ον·

Πελαστής· καί πενέστης διαφέρει.
πελάστης ἐστίν· ὁ προσφυγων
πενέστης δέ παρά Θεσσαλοῖς· ὁ
πραθείς ἄλλοις· ἤ μετά πόλεμον
δωρηθείς· ὡς παρά Λάκωσιν οἱ εἵλωται.

πολυσκάρθμοιο· πολυκινήτου· τα-
:χείας· διά τό πολλά ἐνεργεῖν.
αὐτήν ἐν τῷ πολέμω· σκαρθμός
γάρ ἡ τῶν ποδῶν κίνησις·
πέλεια· πελειάς· πελειάδος·
πέλεια· καί κίρκος· εἰσί γένη ἱερά-
:κων· ὥς φησί Καλλίμαχος ἐν τοῖς
β· περί ὀρνέων· πέλεια δέ ἄλλοι
φασί, περιστεράς εἶδος· οἷον φάσ-
:σα· ἐτυμολογεῖται παρά τό
πέλαν ὅ σημαίνει τό μέλαν.
πελειάς· τάς μαντείας· κορίνθιοι
περιστεράς·
πελεκᾶνι· ἡ εὐθεῖα πελεκάν·
τοῦτο· τό πέλειν ὠκύς· τοῦτο
παρά τό πέλω, τό ὑπάρχω· καί
τό ὠκύς· γίνεται πέλωκυς· καί
ἐκ τούτου πέλεκυς· καί ἐξ αὐτοῦ
πελεκῶ· πελεκάν· ὡς ἀλκμάν
ἀλκμάνος· κλίνεται δέ πελεκάς
πελεκάντος· ὡς ἀνδρειάς ἀνδρειάν-
:τος·
πελιός· ὠχρός· χλωρός· ἀσθενής.

πέλαγος· τὸ μὴ πέλας τῆς γῆς ὤν.
πέλαγος· παρὰ τὸ πέλω· ὃ ση-
μαίνει τὸ ὑπάρχω· καὶ τὸ ἄγος
τὸ σημαῖνον τὴν ἔκπληξιν· τὸ
ἔχον τὴν ἔκπληξιν· καὶ τὸ ἀπεί-
ρον βάθος· τοῦ ὕδατος.
πέλω· πρωτότυπον· ὁ μέλλων πε-
λάσω· καὶ ἐξ αὐτοῦ πόλος ὁ οὐρα-
νός· σημαίνει καὶ τὸ γίνεσθαι. καὶ
εἰς τὸ πελεκάν· καὶ ποικίλως καὶ
πολλά· καὶ χεῖρα.
πελέκει· ἡ εὐθεῖα· πέλεκυς· καὶ
γίνεται παρὰ τὸ πέλειν ὠκύς.
πέλωρα· ὄνομα οὐδέτερον· τὸ ἀρ-
σενικὸν ὁ πέλωρ· τὸ σημαῖνον
τὸν ἐξαίσιον καὶ φοβερόν· καὶ γίνε-
ται παρὰ τὸ πέλλω τὸ ὑπάρχω.
καὶ τὸ ὥρα· ὃ σημαίνει τὴν
φροντίδα· οἷς ὑπάρχει ἀεὶ ἡ
φροντίς· καὶ ἐτυμολογεῖται διὰ
τὸ μέγεθος οὕτως· παράγεται
δὲ διὰ τὸ προσπελάζειν καὶ
ἐγγίζειν τῷ ὠρίωνι· ὡς λέγει
ὁ ποιητὴς ἐν τῇ χι· διὰ τὸ

μέγεθος αὐτοῦ. ὅτε ἴδεν ὁ πρίαμος
τὸν Ἀχιλλέα.

—— ὥς τ' ἀστέρα ἐπεσσύμενον πεδίοιο.
ὥρα τ' ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαί.
φαίνονται. πολλοί μετ' ἀστράσιν νυκτὸς ἀμολγῷ
ὅντε κύν' ὠρίων ἐπίκλησιν.

λοιπὸν πέλωρ. πέλωρος. καὶ τὸ οὐδέ-
τερον πέλωρον. καὶ πέλωρα.
Πελώριος. ὁ μέγας. τὸ ει. ι. διατί
τὰ ἀπὸ τῶν εἰς ωρ εἰ μὲν τρέπει
τὸ ω. διὰ τῆς ει διφθόγγου γίνε-
ται, τὰ διὰ τοῦ ειος κτητικά.
οἷον νέστωρ. νέστορος. νεστόρειος.
νεστορέη παρὰ νηΐ—
εἰ δὲ φυλάσσει τὸ ω διὰ τοῦ ι.
πέλωρ. πέλωρος. πελώριος. ἕλωρ.
ἕλωρος. ἑλώριος.
Πελωρεύς. παρὰ τὸ πέλωρον. μεί-
ζων γάρ ἐστι τῆς χήμης. καὶ
τῶν ἄλλων ὁμοίως ὀστρέων. οὕτως
Ἡρωδιανὸς ἐν τῷ συμποσίῳ.
Πέλοψ. ὁ μεγάλην ὄψιν ἔχων.
πέμπελος. ὁ γέρων. παρὰ τὸ—

εἶναι πλησίον θανάτου. ἢ παρὰ
τὸ πέμπεσθαι εἰς ἅδην.
Πενέστης. εἰς τὸ πελαστής.
Πένεται. παρὰ γὰρ τὸ πενιῶ πέ-
-νης.
Πένης. πένητος. ἡ δὲ αἰτία ἐστιν.
ἀπὸ τοῦ πονῶ. πόνης. καὶ πένης.
τοῦ ο. εἰς ε τραπέντος κατὰ Δωρι-
-κὴν διάλεκτον.
Πένης δέ. ἀπὸ τοῦ πονεῖν καὶ
ἐργάζεσθαι: πορισζόμενος τὸν βίον.
ἢ πονεῖν καὶ ἐνεργεῖν διὰ τὴν ζω-
-ήν. ἢ διὰ τὸν πόνον. τὸν πένθον-
-τα τὴν γονήν.
Πένης καὶ πτωχὸς διαφέρει. πέ-
-νης μὲν γὰρ ἀπὸ τοῦ πονεῖν καὶ
ἐργάζεσθαι πορισζόμενος τὸν βίον.
ἢ πονεῖν καὶ ἐνεργεῖν διὰ τὴν
ζωήν. πτωχὸς δὲ ὁ ἐπαίτης. ὁ
ἐκ πλούτου πεσὼν. ἢ τοῦ ἔ-
-χειν πεπτωκώς. ἢ ἀπὸ τοῦ
πτώσσειν.
Πένης. καὶ πτωχὸς διαφέρει.
πένης μὲν γὰρ ὁ διὰ τῶν χειρῶν

πονῶν καὶ πορίζων τὴν τροφήν. πένεσθαι τοῦ ἐνεργεῖν ὡς ὅμηρος. ὡς οἱ μὲν πένονται —

πτωχὸς δὲ ὁ δι' ἔνδειαν τροφῶν ὡς ὅμηρος.

Ἀλλ' ἐπεὶ δὴ ὅπω ἔργα κάκ' ἔμαθες. οὐκ ἐθελήσεις ἔργων ἐποίχεσθαι

Ἀλλὰ τόθον κατὰ δῆμον βούλει ἐθίζων

βόσκειν γαστέρα ἄναλτον.

Πενθερός. πένθος. καὶ ἔρως. ὁ δι' ἔρωτα πένθος ἔχων. ἢ ὁ τὸ πένθος αἴρων. ἢ τὴν παῖδα ἐρῶν.

Πένθος. παρὰ τὸ βένθος. ἀπὸ βάθους γὰρ τῆς ψυχῆς ἐξέρχεται.

Πέντε πόθεν. παρὰ τὸ ἓν καὶ πάντα αὐτὸν εἶναι. λέγεται δὲ καὶ δίκη παρὰ τοῖς πυθαγορείοις. καὶ τὸ κέντρις μέσος τῆς μονάδος. καὶ ἐφ' ἑκατέρων μερῶν τοὺς ἄδων

πεντήκοντα. ἐκ τοῦ πέντε.

πεντηκοστός. τὸ τῆ. ν. διατί. ἐκ τοῦ πεντήκοντα. καὶ ἐκεῖνο διατί

τὰ εἰς κοντα λήγοντα ἀριθμητικὰ
τῷ ᾱ παραλήγονται. οἷον τριάκον-
-τα, ἢ τῷ η̄. οἷον πεντήκοντα.
Πεντὰς λέγεται οἱονεὶ ἓν καὶ πᾶς.
ὁ γὰρ ε̄ ἀριθμὸς ἀπὸ τῆς μονά-
-δος σύγκειται καὶ τῆς τετράδος.
ἡ δὲ τετρὰς· πᾶς λέγεται· ἢ ἐπει-
-δὴ τὰ στοιχεῖα· ἐξ ὧν πάντα τὰ
σώματα σύγκειται. ἢ ἐπειδὴ ὁ
τέταρτος ἀριθμὸς μετὰ τῶν
πρὸ αὐτοῦ συντιθεμένων τοῦ
τρία. δύο. ἕν. τὴν δεκάδα ἀ-
-ποτελεῖ. ὁ δὲ δέκατος παντὸς
ἀριθμοῦ ἐστι δεκτικός. διὸ καὶ
δεκὰς λέγεται. οἱονεὶ δεχά τις
οὖσα.

Πένω. εἰς τὸ γονῦ. καὶ πεῖρα
καὶ πέπονθα.

Πεπάλακτο. συντέθραυστο. διαφέ-
-ρει παρὰ τὸ παλάσσω τὸ βρέ-
-χω τὸν χοῦν.

Πέπειρος. ὁ ὥριμος.

Πέπαλκα. εἰς τὸ παλαιστάς.

Πέπηθα. εἰς τὸ πέπονθα.

Πεπειθόμεθα· εἰς τὸ πέποιθε ὅμηρος.

Πεπίθοιμεν· ἐπείσθημεν· εὐκτικὸν δεύτερος ἀόριστος· τὸ ῥῆμα πείθω ὁ δεύτερος ἀόριστος ἔπιθον, καὶ ἀττικῶς ἀναδιπλασιασμῷ ἐπέπιθον, ἐξ οὗ καὶ σπουδῇ παρεπιπιθόντες. καὶ τὸ ἀπαρέμφατον. ἐπειδίως πεπιθεῖν· μετὰ φρένας Αἰακίδας.

Πεπιλημένος· συνεσφιγμένος· ἀπὸ μεταφορᾶς τοῦ πίλου, ὅπερ ἐν τῇ ἐργασίᾳ παρὰ τῶν τεχνιτῶν κατασφίγγεται.

Πέπλασμαι· εἰς τὸ πλαστουργός.

Πέπληγα· εἰς τὸ ἀνώγω

Πεπεδημένοι ἐκ τοῦ πεδῶ· πεδήσω, πεπέδηκα· πεπέδημαι· πεπεδημένοι

Πειώλης· διὰ τοῦ ει διφθόγγου. σημαίνει δὲ τὸν πόρνον· τὸν διὰ
β τὸ πέος ἀπολλύμενον. παρὰ γὰρ τὸ πέος καὶ τὸ ὄλω γέγονε πεόλης. καὶ πλεονασμῷ τοῦ ι. πειώλης

Πεπαινόμενον· τὸ ὥριμον εἴρηκα πεπαίνω.

Πείκω καὶ πέκω· τὸ ξαίνειν καὶ δι-
-αλύειν καὶ τὸ κτενίζειν. ἐκ τοῦ ὀπῶ
πείκω κατὰ διάλυσιν πεΐκω· καὶ
πΐκω· ἐξ οὗ καὶ πικραίνω· καὶ
πικρία· καὶ πικρός· πικρία δὲ εἴ-
-ρηται· παρὰ τὸ πείκειν ἤγουν
διαλύειν καὶ διαχέειν τὴν καρδίαν
ἀπὸ τοῦ ἐνηδόνου· εἶναι εἰς ἀνήδονον
σημαίνει δὲ ἡ πικρία καὶ τὴν ἔρ-
-ιν καὶ φιλονεικίαν· ἐξ οὗ καὶ τὰ
παρ' ἐπίκραναν· σημαίνει δὲ πικρί-
-αν· καὶ τὴν δυσωδίαν·

Πένθος κυρίως· τὸ ἐπὶ τοῖς κα-
-τοιχομένοις πάθος· διὰ τὸ ἐν
βαθυτάτω εἶναι τοὺς τεθνεῶτας.
τὸ δὲ κατώτατον καὶ ἀφανὲς βέν-
-θος ἔλεγον· καὶ μεταθέσει τοῦ β.
εἰς π πένθος. δύναται δὲ τὸ τοῦ
πάθους τῆς ψυχῆς ἀπόμενον. ὁ
δὲ Ἡρωδιανός· παρὰ τὸ πάθος πλε-
-ονασμῷ τοῦ ν. ὡς βάθος βένθος.

Πέλιδνον· ὃ σημαίνει τὸ μελανόν.
πελιὰς λέγεται ἡ περιστερά· ἀπὸ
τοῦ εἶναι αὐτὴν λευκήν. καὶ κατὰ

ἀντὶ φθάσιν λέγεται μελὰν τὸ πε-
λιδνόν.
Πελματίβατε· ἤγουν ξέβατε. τὸ ὑ-
πὸ κάτω τῶν ποδῶν αὐτοῦ. ἔστι
πέλμα. καὶ σημαίνει τὸ ὑποκάτω
τῶν ποδῶν αὐτοῦ. ἐκ τούτου γίνε-
ται πελματίζω. ὁ μέλλων πελματί-
σω.
Πεπληγώς. πλήξας. πλήσσω. πλήξω.
ὁ ἀόριστος ἔπληξα. ὁ δεύτερος ἀό-
ριστος ἔπλαγον ἐπὶ τοῦ ψυχικοῦ
πάθους. ἐπὶ δὲ τῶν σωματικῶν διὰ
τοῦ η. ὁ δὲ ποιητὴς εἶπων κατεπλήγη.
ἵνα μὴ νομίσωμεν ὅτι ἐπὶ σωματικοῦ
λέγει. εἶπε φίλον ἦτορ. ἤγουν τὴν
ψυχὴν διὰ τὸ μέτρον.
Πέπλος μετὰ τοῦ ταυδῶ. πανύπε-
πλος. πέπλος γίνεται ἐκ τοῦ πέ-
πω ῥήματος. πέπαλος καὶ ἀποβο-
λῇ τοῦ ε πέπαλος. καὶ συγκοπῇ
πέπλος. διαφέρει πέπλος καὶ χιτών.
χιτὼν λέγεται τὸ ἁπλοῦν καὶ λινοῦ
περιβόλαιον. πέπλος δὲ τὸ ποικί-
λον ἱμάτιον. παρὰ τὸ πέπελον.
ὥσπερ εἰς τὸ φοροῦντα πεποδόμαιον
καὶ εἰς τὸ χιτών.

πέπονες· μαλακοί· εὔκολοι ἀσθενεῖς.
ἔκλυτοι ἀπὸ μεταφορᾶς τῶν πεπει-
ρων καρπῶν· καὶ σεσηπμένων. ἃ τῇ
μὲν γεύσει ἐστὶν ἡδέα· τῇ δὲ θίξει καὶ
τῇ ἀφῇ μαλακὰ καὶ εὐένδοτα. καὶ
σημαίνει δύο· τοὺς γενναίους. καὶ τοὺς
γέροντας· καὶ ὅταν σημαίνει τοὺς
γενναίους· γίνεται ἐκ τοῦ φόνος.
φόνους δὲ ἔλεγον οἱ Δωριεῖς τοὺς ἐπο-
νειδίστους· ἤγουν τοὺς ἄξια φόνου
δεδρακότας. καὶ παρὰ Φρυγικῷ
ἔθει. καὶ ἀναδιπλασιασμῷ πέφονες.
καὶ τροπῇ πέπονες· συστέλλει δὲ
τὰ κοινὰ τῷ γένει. τοὺς δὲ γέρον-
τας ὡς ἐκλύτους. ἡ μεταφορὰ
ἀπὸ τῶν πεπόνων.
Περὶ τοῦ πέπονθα. μέσου παρακει-
μένου ζητεῖται. ποῖος ἄρα ὁ ἐνεστώς.
καὶ λέγομεν ὅτι ἀπὸ τοῦ πονῶ
ῥήματος καὶ κατὰ ἀναλογίαν πέ-
πονα ὁ μέσος παρακείμενος καὶ
πλεονασμῷ τοῦ θ. πέπονθα. εἰ
δέ τις εἴπῃ διατί μὴ ἄλλο σύμφω-
νον ἐπλεόνασεν. ἢ γ. ἢ κ. ἢ
ἄλλο τι. εἴπωμεν ὡς φίλον τῷ

μένω παρακειμένω συνάπτεσθαι.
τὸ θ. ὥσπερ τὸ πέπονθα. καὶ τὰ
ὅμοια ὁ γὰρ ἀόριστος παρακείμε-
νος καὶ ὁ πρωτότυπος οὐδαμῶς
ἔχει τὸ θ. ὥς λέγει Ἡρωδιανὸς εἰς
τὸ πρῶτον βιβλίον τοῦ μεγάλου
ῥηματικοῦ

πέπονθα. ἀπὸ ποίου ῥήματος· ἀπὸ
τοῦ πονῶ. πονέσω. πεπόνηκα.
ὁ μέσος παρακείμενος πέπονα.
ἐνδεῖ γὰρ μίαν συλλαβὴν ἀπὸ πε-
ρισπωμένων ὥσπερ βεβόηκα. βέ-
βοα· καὶ ἐν παραθέσει τοῦ θ. πέ-
πονθα.

Πέπονθα. παρὰ τὸ πένω τὸ ἐνερ-
γῶ. ἐξ οὗ καὶ πένης. ὁ μέλλων
πενῶ. ὁ παρακείμενος πέπονκα.
καὶ τροπῇ τοῦ κ. εἰς θ. πέπονθα.
ἢ παρὰ τὸ πήθω. τὸ πάσχω. ὁ μέ-
σος παρακείμενος πέπηθα. καὶ τρο-
πῇ τοῦ η. εἰς ο. καὶ πλεονασμῷ
τοῦ ν. πέπονθα.

Πέποσθε ὁ μὲν Ἡρωδιανὸς ὅτι πήθω

τὸ πανθάνω. ὁ μέλλων πήσω. ὁ παρακείμενος πέπηκα. ὁ παθητικὸς πέπησμαι. τὸ τρίτον πέπησται. τὸ πληθυντικὸν πεπήσμεθα πέπησθε. καὶ συστολῇ τοῦ η εἰς ο. οἷον ἐπὶ πονῶ πονήσω. πεπόνηκα. πεπόνημαι. πεπόνησαι. πεπόνηται. τὸ πληθυντικὸν πεπονήμεθα. πεπόνησθε. καὶ συγκοπῇ τοῦ ν πέποσθε. ἀντὶ τοῦ πεπόνθατε.

Πεποτίαται. παρὰ τὸ ποτῶ ποτίσω. ὁ παρακείμενος πεπότικα. καὶ ἰωνικῶς πεποτίαται.

Πέπρακα. ἀπὸ ποίου θέματος. ἀπὸ τοῦ περῶ. περάσω. πέπραμαι ὁ παρακείμενος. καὶ συγκοπῇ πέπρακα.

Πεπρωμένον. εἱμαρμένον διὰ τὸ πεπερατῶσθαι πάντα καὶ μηδὲν ἐν τοῖς οὖσιν ἄπειρον εἶναι. ἢ πεπερασμένην καὶ συντετελεσμένην διοίκησιν. ἢ πέρα τοῦ βίου ἐπιζητοῦσα.

Πεπρωμένον αἴσῃ. πεπερασμένον
ὑπὸ τῆς μοίρας. ὅ ἐστιν εἰς πέρας
ἥκοντος τοῦ βίου.

Πεπρωμένον ἀπὸ μετοχῆς μετὰ
ῥῆμ. εἰς ἐπιρρηματικὴν σύνταξιν.
ὥσπερ καὶ τὸ εἱμαρμένον. ἡ δὲ μετο-
χὴ πεπερατωμένον. καὶ συγκοπῇ
πεπρωμένον. γίνεται ἀπὸ τοῦ πε-
ρατῶ. περατώσω. τοῦτο ἐκ τοῦ
πέρας. πέρατος. τί δὲ σημαίνει τὸ
πεπρωμένον. τὸ προωρισμένον καὶ
εἱμαρμένον. ἔστι δὲ παρ' ἕλλησιν ἡ
λεγομένη παρ' ἡμῖν πρόνοια. τὴν
δὲ αὐτὴν εἱμαρμένην ἔλεγον. καὶ
ἀδράστειαν. διὰ τὸ μὴ ἀποδιδράσ-
κειν ἅπαντα τὰ προορισθέντα.

Πελίωμα. τὸ μέλαν χρῶμα. καὶ
γὰρ πέλλην λέγομεν. τὸν βοῦν. τὸν
τοιοῦτο χρῶμα ἔχοντα. καὶ πέλλη
πόλις Μακεδονική. ὅτι βοῦς αὐτὴν
εὗρε. πέλλη τὸ χρῶμα. καὶ ὁ πε-
λίας ἄνθρωπος.

Πεποιθώς. τὰ γὰρ ἀπὸ τῶν εἰς ος
σωθέντων διὰ τὸ τὰ παραγόμενα

πρὸ μιᾶς τὸν τόνον ἔχοντα. διὰ τοῦ
ι γράφεται. οἷον ἀτεχνῶς. ἀτεχνία.
ῥᾴθυμος. ῥαθυμία. ὑπερήφανος. ὑπερ
ηφανία. εὔκαιρος. εὐκαιρία. πρόσ
κειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα.
διὰ τὸ εὔερος εὐέρεια. σημαίνει δὲ τὴν
καλὸν ἔριον ἔχουσαν. καὶ βουθὸς βο
ήθεια. καὶ τοῦτο γὰρ σύνθετον πα
ρὰ τὸ βοῦ. καὶ τὸ θοός. τοῖς βουσὶ
ταχὺ θέλει γνωρίζεσθαι.

περίπατος. ἡ περὶ σχέσιν κυκλοτερῆ
δηλοῖ. ὡς τὸ περιέρχεσθαι κάμπτειν.
οὕτω καὶ ὁ περίπατος. πάτος γὰρ τὸ
πατούμενον.

περισαίνοντες. κολακεύοντες. ὡς ἐπὶ
τῶν κυνῶν, ὅταν τὰς οὐρὰς σαίνωσι.
τουτέστι σείουσι. τοῖς οἰκείοις.

Πέρδιξ. πρό τι περισσῶς ἀδικεῖν. ἐν τῷ
γὰρ ἀπολλύειν τὰ ἴδια ἔγγονα ἀδικεῖ.
καὶ ταῦτα συνάγει. ῥωμαϊστὶ δὲ πέρδειν
τὸ ἀπολλύειν λέγεται καὶ τὸ ἀδικεῖν.
τὸ δὲ δίκην. λέγειν.

Πέπτω. εἰς τὸ καταπέμπειν.

Πεπτωκότα. αἰτιατική. ἡ εὐθεῖα,
πεπτωκώς. ἔστι δὲ μετοχή. ἔστι πέτω.

πετεῖς. πετεῖ. πετήσω. πεπέτηκα.
καὶ κατὰ συγκοπὴν πέπτηκα. καὶ τρο-
πῇ τοῦ η εἰς ω. πέπτωκα. ἢ παρὰ
τὸ πέδον ὃ σημαίνει τὴν γῆν. γίνεται
πεδῶ. πεδήσω. πεπέδηκα. ὁ γὰρ
πίπτων εἰς τὴν γῆν πίπτει.

Πετρώδης. εἰς τὸ πέλλα.

Πέρα. πλέον ὑπερβολικῶς ὅτε πα-
ροξύνεται. περᾶ δὲ διαβαίνει ὅτε
περισπᾶται.

Περαίνω. παρὰ τὸ περαίω. καὶ πλε-
ονασμῷ τοῦ ν. περαίνω. ἐξ οὗ καὶ
νέον περαίνεις. καὶ εἰς τὸ πλαίω.

Περαιτέρω. πλέον/πάνυ. ἀπὸ τοῦ
πέρας περατέρω. καὶ πλεονασμῷ τοῦ
ι περαιτέρω. συντάσσεται μετὰ πλα-
σίως γενικῆς καὶ αἰτιατικῆς.

Περάνας. πληρώσας. τὸ ῥῆμα περαί-
νω. περανῶ. ἐπέρανα. καὶ ἡ μετοχὴ
περάνας. τὸ δὲ περαίνω παρὰ τὸ
πέρας. τοῦτο παρὰ τὸ πείρω. ἐξ
οὗ καὶ πόρος.

Πέρθαι. πόρθειν. πορθῆσαι. ἀπὸ τοῦ
πέρθω. πέρσω. ὡς νήθω. νήσω. ἐπεί-
τα πέπερκα πέπερσμαι. ὡς ~

νένιμμαι. καὶ τὸ ἀπαρέμφατον πε-
πέρθαι. καὶ ἀποβολῇ τοῦ διπλασιασ-
μοῦ πέρθαι. ὡς βέβλητο. βλῆτο.
βλῆτο δὲ μηρῷ. εἰ δέ τις εἴποι διατί
μὴ καὶ τὸ σ. ὡς τὸ νενῆσθαι. λέγομεν
ὅτι πρῶτον μὲν διὰ τὴν κακοφωνίαν
τὸ σ. ἐπιβάλλειν. ἄλλως τε καὶ ἐνο-
μίσθη εἶναι τῆς πέμπτης συζυγίας.
ὡς ἔχον τὸ ε. αὕτη γὰρ οὐ προσλαμ-
βάνει τὸ σ. ἐν βαρυτόνοις. κέκαρ-
μαι τέτιλμαι. κέκαρται. τέτιλται.

νῦν δέ με χαλεπῷ θανάτῳ εἵμαρτο δαμῆναι.

Περάτη. τὸ πλησίον τοῦ ὠκεανοῦ
πέρατι δή.
Πέρθω. εἰς τὸ ἐκπέρσαι. καὶ ἐπάρ-
θομεν.
Περὶ προθέσεις. εἰς τὸ ἀμφί.
Περιαγνύμενος. περιτριβόμενος.
περικυκλούμενος. ἀπὸ τοῦ ἄγνυμι.
ὅπερ ἔχει τὴν γένεσιν. ἀπὸ τοῦ
ἄγω. ὃ σημαίνει τὸ κλάνω. πλεονασ-
μῷ τοῦ ν. ἀγνῶ. ἐκ τούτου οὖν
ἀγνύω. καὶ κατὰ παραγωγὴν ἄγ-
νυμι.
Περιδέξιον. ἀντὶ τοῦ περὶ πολλά

δέξιον. καὶ ἄριστον. ὅμηρος.

Περιμὴν βουλή. ἡ περὶ ἀνθρώπους κειμένη προσθέσεως. λέγω δὴ ἀντὶ τῆς ὑπέρ. τὸν ἴδιον τόνον φυλάσσει.

Περιώσιον. περισσόν.

Περίξ. εἰς τὸ ὑπόδρα.

Περιουσία. ἡ ἀπὸ τοῦ περισσῶς εἴρηται. ἢ ἀπὸ τοῦ πλεονάζειν. ταῖς ἀρεταῖς καὶ περιουσίαν ἔχειν πλεονεκτημάτων. καὶ πλῆθος ἀγαθῶν ἔργων.

Περιδείλην ὥραν. παρὰ τὸ εἵδει καὶ τὴν εἵλην. ὃ σημαίνει τὴν θέρμην.

Περιωπήν. ὅθεν ἐστὶ περιοπτεύειν.

Περιπέζια. τὰ περὶ τὴν γῆν προσπελάζοντα. πέζα γὰρ οὐ μόνον ὁ πούς. ἀλλὰ καὶ ἡ γῆ. παρὰ τὸ ἕζω. τοῦτο παρὰ τὸ ἕω. ὃ σημαίνει τὸ καθέζομαι. τὸ γὰρ ἕδω. οὐ μόνον τὸ ἐσθίω σημαίνει ἀλλὰ καὶ τὸ καθέζομαι.

Περιπλεῖν. εἰς τὸ πλέω.

Περιποιεῖν. εἰς τὸ ποιεῖν.

Περισκέπτῃ ἄνωθεν σκέπτῃ.

Περισσός παρά τήν περί πρόσθεσιν.
καί τό σεύω. τό ὁρμῶ.

Περιστερά. ἢ διά τό πέτεσθαι στερ-
ρεῶς. ἢ διά τό πέτεσθαι ῥαδόν. ἢ
διά τό περισταλτικόν τοῦ ἐρᾶσθαι. ἢ
ἀείρεσθαι τά νοσσία ἑαυτῆς.

Περιεχέθη. τό θέμα χέω. χεύσω
ὁ παθητικός ἀόριστος ἐχεύθην. ἐξῆλθε
δέ τό ῡ. διά τήν κακοφωνίαν. ἔστι
δέ ὁ ἐνεργητικός ἀόριστος ἔχευα. καί
ἔχεα. ὅθεν τό ἐπιχέαται.

Περιστερά. παρά τό περισσῶς ἐρᾶν.
θερμοτάτη γάρ περί συνουσίαν. ἢ
παρά τό πέτεσθαι στερεῶς. ἢ ὅτι
περί τά στερεά ποιεῖται τά νοσσία
ἑαυτῆς.

Περιωσία. ῑ. περιώσιος γάρ.

Περκάζει. τῇ παρατάξει ἀκμάζει.
ἢ ἐκ τοῦ ὄμφακος μεταβάλλει
εἰς τό μέλαν τῆς σταφυλῆς χρῶμα.
πεπαινόμενον.

Περιουσιασμός. ἐκ τοῦ περιουσιάζω.
τοῦτο ἐκ τῆς περί προσθέσεως –

καί τοῦ οὐσία. τοῦτο παρά τό ἶσος.
ἰσία. καί οὐσία. τοῦ ι. βοιωτικῶς τρε-
-πέντος εἰς υ καί πλεονασμῷ τοῦ ο.
Περιχύτης. ἄνωθεν χύτης ὑδάτων.
Περκνόν μέλαν ἔνθεν. περκάζειν λέγε-
-ται. ἤτοι μελαινομένη σταφυλή.
Περόνη. ἡ σούβλα. παρά τό πείρειν.
Πέρπερος ὁ φλύαρος. ἀπό τοῦ τοῖς
λόγοις περιφέρεσθαι.
Περσεφόνη. κύριον ὄνομα. παρά τό
τούς ἀποθνήσκοντας πρός αὐτήν φέ-
-ρεσθαι. ἤτοι τούς φονευθέντας. καί
ἄλλως. περσεύς καλεῖται ὁ ἥλιος.
καί ἐξ αὐτοῦ περσεφόνεια. ἡ ἀνάδο-
-σις τοῦ σίτου ἡ ἀπό τοῦ ἡλίου γινομέ-
-νη.
Περισσῶς. ἐπίρρημα μεσότητος. ἐκ
τῆς περί προθέσεως καί τοῦ σεύω
τό ὁρμῶ
Περγάμη. ἄκρις τῆς ἀκροπόλεως
τοῦ ἠλίου. ἡ ἐκαλεῖτο πέργαμος.
Περισσοῖσι τοῖς κύβοις. ἀπό τοῦ παί-
-ζειν ἐσχημάτισται. ἢ παρά τό πίπτειν

βολίοις τὸ πεσσεύειν· πεσσοὶ δὲ αἱ
ψῆφοι.
Πέσκος τὸ δέρμα· κατὰ περισσότη-
-τα τοῦ σ· παρὰ γὰρ τὸ πέκω.
πέκος· ἔστι καὶ πέσκος.
Πέρυσι καὶ πέρυσιν μετὰ τοῦ ν.
Πέρσωε· σημαίνει τὸν συρφετόν· ἤ-
-γουν τὸν ἐσφαλμένον. ἔστι δὲ πέτω καὶ
σημαίνει τὸ πίπτω.
Πέρσις ἐθνικόν. στέρσις. ἐστερήθη
γὰρ τοῖς Φοίνιξι μέρος· τῇ ἑαυτοῦ
κοίτῃ. ἐτέχθη ἐκ τῆς παρὰ φύσιν
φύσεως. στερήσεως γὰρ τοῦ ἐρωμέ-
-νου λῶτι, τῷ πλήθει τοῦ οἴνου,
ἐπιβουλῇ τῶν θυγατέρων αὐτοῦ πρὸς
αὐτὸν συγγινομένων· ἐγένετο πέρσις,
στέρσις.
Περσίς· περσίδος· ὄνομα τόπου.
Περσία· χώρα· ὠνόμασται ἀπὸ περ-
-σέως βασιλεύσαντος ἐν αὐτῇ.
Περῶ· εἰς τὸ πορίζω· καὶ πλαίω.
Πέσκος· εἰς τὸ ἀλλόκοτον.
Πεσόντων· σημαίνει δὲ τὸ ἀναιρε-
-θέντων· καὶ φονευθέντων μετοχή·
ἀόριστος· δεύτερος· τὸ ῥῆμα πεσῶ.

γίνεται δὲ παρὰ τὸ πέδον· ὃ σημαίνει
τὴν γῆν· κυρίως γὰρ τὸ πεσεῖν ἐστι
τὸ ἀπὸ ὕψους εἰς γῆν κατενεχθῆναι.
Πεσσέμεν· σημαίνει τὸ χωνεύω· ἐξ
αὐτοῦ τὸ καταπέψῃ ἀντὶ τοῦ χω-
νεύσῃ· κατάσχῃ· καταδαπανήσῃ·
τουτέστιν ἐγκρατὴς γένηται τῆς ὀρ-
μῆς· ἔστι δὲ ἀπαρέμφατον τὸ πεσ-
σέμεν· ἐνεργητικόν· οἱ Δωριεῖς τὰ
εἰς ειν ἀπαρέμφατα διὰ τοῦ εμεν
προφέρουσιν· ἐπίρρημα πέσσω· ὁ κα-
νών· οἱ Αἰολεῖς βοιωτικοὶ ὄντες· τὸ
π· τ· εἰς σσ μετατιθέασι· τὸ
γὰρ νίπτω· νίσσω λέγουσι καὶ τὸ ὅπτω.
ὄσσω· οὕτω καὶ τοῦτο εἴρηται μετα-
φορικῶς· ἀπὸ τῶν ἐν τῇ γαστρὶ πλεῖ-
ονα χρόνον κατεχομένων σιτίων.
καὶ γὰρ αὐτὰ ἂν μὴ κρατηθῇ τὸν
ὁρισμένον καιρὸν, ἀλλοιοῦσι τῆς
καθεκτικῆς δυνάμεως, ἣ πέπτεται.
εἰσὶ δὲ τέσσαρα εἴδη τῆς γαστρός.
ἑλκυστική· καθεκτική· ἀλλοιωτική.
καὶ ἀποκριτική. ἑλκυστική ἐστιν.
ὅτε ἐπιθυμεῖ τῆς φαγεῖν· καθεκτική

ἢ κατέχουσα τὴν τροφήν· καὶ μὴ
ἐῶσα αὐτὴν εὐθέως ἐκκριθῆναι. ἀλ-
λοιωτική· ἡ ἀλλοιοῦσα τὴν τρο-
φήν· εἰς τοὺς χυμούς. ἀποκριτι-
κή ἢ τὸ περίττωμα διὰ τοῦ ἀφε-
δρῶνος ἐκκρίνουσα. καὶ ἐκβάλλουσα.

Πετάλλοις σημαίνει τοῖς φύλλοις πα-
ρὰ τὸ πέτω τὸ πίπτω. πίπτουσι
γὰρ ὅμηρος.

Πετεινῶν· ὄνομα. γενική τῶν πλη-
θυντικῶν. τὸ πετεινὸν γάρ ἐστιν
ἡ εὐθεῖα. ἐκ τοῦ πετῶ. πετήνω.
πετηνός. καὶ πλεονασμῷ τοῦ ε
πετεινὸς ποιητικῶς ἐξ οὗ ἔχει τὸ
η̄· πάντοτε γὰρ ὁ ποιητὴς διὰ
τῆς ε. καὶ η̄. προφέρει. ἔστι δὲ καὶ
τοῦτο γενικόν.

Πετεινόν· τὸ τὴν πτέρυγα τεῖνον.

Πετεινόν· παρότι ἵπταται τεινόμε-
νον.

Πετεινῶν. εἰς τὸ δραπέτης.

Πέπονται τὸ θέμα. πέτω. ὁ παθητι-
κὸς παρατατικὸς πέτομαι. τὸ τρί-
τον τῶν πληθυντικῶν. πέτονται.

ἐκ τούτου γίνεται πέτος· καὶ σημαί-
-νει τὸ ὕψος· καὶ ἐκ τούτου πέτω.
κατὰ τροπὴν τοῦ ε̄ εἰς ο̄ ποτῶ.
ὁ παθητικὸς ἐνεστὼς ποτῶμαι· καὶ
ὁ παρατατικὸς ἐποτώμην· καὶ τὸ
τρίτον ἐποτᾶτο· καὶ ἀμφεποτᾶτο
ὀδυρομένη φίλα τέκνα.

Πέτρα· διὰ τὸ παίειν τρανῶς.
Πέτρα· παρὰ τὸ πέτεσθαι ῥαδίως κα-
-τὰ ἀντίφρασιν.

Πεττεύειν· μεταφορὰ ἀπὸ τῶν πε-
-τῶν τουτέστι τῶν κύβων. πεττεύειν
δὲ τὸ ταυλίζειν. γίνεται ἀπὸ τοῦ πετ-
-τὸς πεττεύω. πεττεία. τὸ δὲ πετ-
-τός. ἀπὸ τοῦ πέττω. ὃ σημαίνει
τὸ καταπίπτω. ὁ μέλλων πέσσω.
πεσσός. καὶ τροπῇ πεττὸς καὶ συν-
-τάσσεται. μετὰ πτώσεως γενικῆς
καὶ αἰτιατικῆς.

Πέτω· πόθεν. ἔστι τὸ παράγωγον
πέτημι καὶ τὸ παθητικὸν πέταμαι
ἡ μετοχὴ πετόμενος. τὸ δὲ ἐπε-
-τάσθη ἐκ τοῦ ἐνεστῶτος πετάζω.
ἐπέτασα. ἐπετάσθη. καὶ ἐπετάσθην.

Πέπτω· εἰς τὸ θεσπέσιος· καὶ μίμνω. καὶ πέταμαι καὶ πίπτω.

Πευκαλίμη· ἡ φρόνησις. πευκαλίμησιν.

Πεύθω· εἰς τὸ ἔκπυστα.

Πευκαλίμας φρένας· τὰς συνετὰς παρὰ τὰς πεύκας· παρὰ τὸ δριμείας αὐτὰς εἶναι· καὶ σωστάς. οἱονεὶ δριμείας καὶ σώφρονας.

Πέφανται· ῥῆμα. παρακείμενος τῶν εἰς ω̄ τρίτου τῶν ἑνικῶν.

Πέφαμαι· δύο σημ̄ πᾶσα συλλαβὴ εἰς ν λήγουσα· ἐὰν συστέλλῃ μεθ' ἑτέρας. πέφαγκα. πέφαμαι. ὁ ἐνεστὼς φαίνω. ὃ σημαίνει τὸ φανερῶ. καὶ φανεροποιῶ. ἔφανα. καὶ τροπῇ ἰωνικῇ ἔφηνα.

Πέφραγμαι· εἰς τὸ ἐτύχθη.

Πεφϊσμένος· εἰς τὸ φόνος.

Πέφνη. καὶ κατέπεφνη. ῥῆμα ὑπερ
. - . . . ἀορίστου δευτέρου τὸ ῥῆμα φένω γίνεται ἐκ τοῦ φῶ. τὸ φονεύω. ἐξ οὗ καὶ φόνος. ὁ μέλλων φενῶ. ὁ

δεύτερος ἀόριστος ἔφανον· καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπέφανον. καὶ συγκοπῇ ἔπεφνον· καὶ ἡ μετοχή. ἐπέφνων βαρυτόνως. αἱ εἰς ων λήγουσαι μετοχαί. ἔχουσαι πρὸ τοῦ ἀμεταβόλου σύμφωνον κατ' ἐπιπλοκήν οὐδέποτε ὀξύνονται. οἷον κάμνων, δάκνων. τέμνων. τούτοις συνεξομολογοῦσθαι καὶ τὸ πέφνων καὶ συνεβαρύνθη. χειρίχ. ἅπερ καταπέφνων.

πεφυγμένος. εἰς τὸ ἐτύχθη.

πεφυκώς. ἐκ τοῦ φυμί τὸ ὑπάρχω ὁ μέλλων φύσω. ὁ παρακείμενος πέφυκα. ἡ μετοχή πεφυκώς. τὸ θηλυκὸν πεφυκυῖα.

πέψει. εἰς τὸ πέσσειν καὶ καταπέψει.

## τὸ π̄. μετὰ τοῦ η̄

Πῆ. ἐπίρρημα πευστικὸν ἀντὶ τοῦ πῶ ἢ πότε. οἷον πῆ μὲν σύνδεσμος αἰτιολογικός. πῆ δὲ σύνδεσμος ἐναντιωτικός. οἱ γὰρ Δωριεῖς διὰ τοῦ

ᾶ ἀντὶ τοῦ πῶ ἢ πότε

Πῇ· ἐπίρρημα ἐρωτήσεως ἀντὶ τοῦ
ποῦ· καί ἐστιν ἀόριστον· ὅτε δὲ ἐρωτήσεως.
περισπᾶται· τί διαφέρει τὸ πῇ τοῦ
ποῦ· διαφέρει ὅτι τὸ μὲν πῇ τὴν εἰς
τόπον σχέσιν σημαίνει· ὡς ὅμηρος

πῇ ἔβη ἀνδρομάχη —

τὸ δὲ ποῦ τὴν ἐν τόπῳ·

ποῦ νῦν δεῦρο κίων λίπες ἕκτορα —

ὅθεν οὐ δεῖ λέγειν· πῇ ἀπέρχῃ· ἀλλὰ
ποῦ· προσγραφομένου τοῦ ι· καὶ εἰς
τὸ ποῖ·

Πῇ ποῖ· ἢ εἰς τινὰ τόπον·

πῇ δὲ τὸν μολοβρὸν ἄγεις· —

ἔστι δὲ· ι . . . . . . . τὸ δὲ ποῖ.
ἀττικόν· βαρυτονηθὲν δὲ τὸ πῆ·
ἀόριστον γίνεται· νῦν δ' οὐ γάρ πῃ θέσθαι
ἐπίσταμαι· ἀντὶ τοῦ εἰς οὐδένα τόπον
ἐπίσταμαι θεῖναι τὰ δῶρα.

Πῇ· ποῖ· ποῦ· διαφέρει τὸ μὲν πῇ καὶ
τὸ ποῖ· εἰς τόπον· οἷον

πῇ ἔβη ἀνδρομάχη —

τὸ δὲ ποῦ ἐν τόπῳ· οἷον

ποῦ νῦν δεῦρο κίων λίπες ἕκτορα —

ὥστε ἁμαρτάνουσιν οἱ λέγοντες ποῦ

ἀπέχεται δέον η̄.

Πήγανον· τὸ πη· η̄· εἴρηται δὲ παρὰ τὸ πήσσω· οἱονεὶ ἡ πήγνυσα τὴν γονήν. ἢ παρὰ τὸ παύειν τὸν γόνον· παύγανον.

Πηγεσιμάλλω· ἡ εὐθεῖα πηγεσίμαλλος. σημαίνει δὲ τὸν μέλανας μαλλοὺς ἔχοντα· ὁ γὰρ τοιοῦτος φοβερὸς φαίνεται. ἐν πλήθει λευκῶν προβάτων. ἐκ γοῦν τοῦ πηγὸς καὶ τοῦ μαλλὸς γίνεται πηγόμαλλος. καὶ πλεονασμῷ τῆς σι συλλαβῆς πηγεσίμαλλος. ὁ ἔχων μαλλοὺς μέλανας. ἐκ τοῦ εἰρηκέναι τὸν ποιητὴν μικρὸν ἔμπροσθεν.

Πηγή· ἐκ τοῦ πηδῶ· γέγονε πηδή. καὶ κατὰ μετάθεσιν τοῦ δ̄ εἰς τὸ γ̄· πηγή.

Πηγή· ποτοῦ γέννησις.

Πηγή· τὰ δύο η̄· Δωριεῖς γὰρ παγὰ λέγουσι· καὶ ἡμεῖς τὰ τῶν Δωριέων ᾱ εἰς η̄ τρέπομεν. πηδῶ. πηδάω.

Πήθω· τὸ πανθάνω· ἐπὶ ἐνεστῶτος η̄· ἐπὶ δὲ τῶν λοιπῶν χρόνων· δίφθογγον. οἷον ὁ δεῖν πεύθει δαιν.

Πήθω. εἰς τὸ ἀνάπηρος. καὶ γεγηθό-
-τα. καὶ ἥνδανε καὶ πάθος. καὶ πα-
-παί. καὶ πέπονες καὶ πέποσθε. καὶ
πῆμα. καὶ πῆρα. καὶ πόθεν. δηλονόν.

Πηκτίς. πηκτίδος. τὸ τῆς κιθάρας
ξύλον.

Πηλακίζω. εἰς τὸ προπηλακισθέντες.

Πηληϊάδεω. ὅμηρος τοῦ πηλέως.
ὁ κανὼν οἱ ἴωνες καὶ οἱ ποιηταὶ τὰς
εἰς ως λήγουσας γενικὰς τὰς ἀπὸ
τῶν εἰς ης εὐθειῶν γενομένας. διὰ
τοῦ εω προφέρουσιν ἐπὶ γενικῆς
οἷον ξέρξης. ξέρξεω. ἀτρείδης. ἀτρεί-
-δεω. ἐναντίως τοῖς βοιωτοῖς. καὶ
Αἰολεῦσιν. ἐκεῖνοι γὰρ διὰ τοῦ αο
ποιοῦσι. τοῦ α ἐκτεινομένου, πᾶ-
-σα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν
λήγουσα καὶ περιττοσυλλαβοῦσα τῆς
ἰδίας εὐθείας ἢ ἐκτείνει τὴν παρα-
-λήγουσαν καὶ συστέλλει τὴν λήγουσαν.
οἷον. καλός. καλοῦ. καλοῖο. σοφός
σοφοῦ. σοφοῖο. ἢ ἐκτείνει τὴν λή-
-γουσαν. καὶ συστέλλει τὴν παραλήγουσαν

οἷον ἀτρεΐδεω. πριαμίδεω. πηληϊάδεω. ὅμηρος.

Πηληϊαδέω. παρὰ τὸ πηλεύς. ὅπερ ἀπὸ τοῦ πάλλω. τούτου τὸ πατρωνυμικὸν πηλείδης. διαλύει δὲ καὶ ἐκτάσει τοῦ ε. εἰς η. καὶ πλεονασμῷ τοῦ ᾱ. γίνεται πηληϊάδης. ἐν ἡρωϊκῷ δὲ μέτρῳ. τὰ ἀπὸ τῶν εἰς ης εὐθειῶν, γενικῶν. οἱ ποιηταὶ οὐ προφέρονται εἰς ου. ἀλλ' ἢ διὰ τοῦ εω ἰωνικῶς ὡς πηλείδεω. ἢ διὰ τοῦ αο δωρικῶς. ὡς ὀρέσταο. τίσις ἔψεται Ἀτρεΐδαο. Καλλίμαχος δὲ ἐν πρώτῳ

β. αἰτιῶν ἐχρήσατο τῷ εἰς ου.

τάδεον ἐρῦμικὸν εἰς ἑνὸς ἀστερίσκου. πᾶσα γὰρ γενικὴ περισσοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας καὶ εἰς φωνῆεν λήγουσα, ἢ ἐκτείνει τὴν λήγουσαν. καὶ συστέλλει τὴν παραλήγουσαν. ἢ συστέλλει τὴν λήγουσαν καὶ ἐκτείνει τὴν παραλήγουσαν.

Πηλϊάδεω. ὄνομα πτώσεως γενικῆς δεῖ γινώσκειν, ὅτι ἔστι πηλεὺς τὸ

πρωτότυπον καὶ τὸ πατρωνυ-
μον αὐτοῦ πηλείδης καὶ κατὰ δια-
λυσιν πηλεΐδης. καὶ τροπῇ τοῦ
ε. εἰς η. καὶ πλεονασμῷ τοῦ α. διὰ
τὸ κακόφωνον. ἢ διὰ τὴν συνέπτω-
σιν. πηληϊάδης. ἡ γενικὴ πηληϊάδου
κοινῶς. Δωρικῶς δὲ πηληιάδαο. καὶ
ἰωνικῶς κατ' ἔκτασιν χρόνου πηληϊά-
δεω. ἰστέον ὅτι τὰ εἰς δης πατρω-
νυμικά. ἢ τῷ ι παραλήγονται μό-
νον. ἢ τῇ ει διφθόγγῳ. ἢ τῷ α. αἱ
μὲν οὖν ἀπὸ τῆς γενικῆς. γένηται
ἡ πατρωνυμία. τῷ ι. μόνῳ πα-
ραλήγεται. ἐν βραχεῖ. ὁποίας ἂν
εἴη καταλήξεως. χωρὶς τῶν ἀπὸ
τῶν εἰς εως. καὶ ἀπὸ τῶν εἰς ης.
οἷον ἀγαμέμνονος. ἀγαμεμνονίδης.
βίαντος. βιαντίδης. τὸ γὰρ βιαντί-
δης πλεονασμῷ τοῦ α. καὶ παρὰ
τὴν δευκαλΐωνος γενικὴν καὶ ἀν-
θεμίωνος ὤφειλε Δευκαλιωνίδης
καὶ Ἀνθεμιωνίδης. πλεονασμῷ
ἔχουσι τὸ α. ὁμοίως δὲ ἀπὸ τῆς

οὗ γενικῆς διά τοῦ ειδης γινόμενα ἢ παραγωγή. οἷον ἡρακλῆς. ἡρακλεΐδης. καί ἡρακλείδης. δημοσθένους δημοσθενίδης. καί ἀπό των εἰς ευς εὐθειῶν διά τοῦ ειδης γινόμενα. οἷον πηλεΐδης πηλείδης. ἐν τούτοις γάρ γίνεται συναίρεσις εἰς την ει δίφθογγον. ἐπείπερ ἀνεφάνη τό ᾱ ἐν τῇ γενικῇ των πρωτοτύπων. εἰ δέ ἀπό των εἰς ος εὐθειῶν εἰσίν. εἰ μέν καθαρῶν ὄντων διά τοῦ ᾱ ἐκφέρονται. οἷον ἥλιος ἡλιάδης. θυέστιος. θυεστιάδης. τό πάνθοος πανθοΐδης. καί πανθοίδης. ἡμάρτηται. εἰ δέ μή καθαρεύοι. διά τοῦ ῑ. ὕλλος. ὑλλίδης. κόδρος. κοδρείδης. εἰ δέ ἀπό των εἰς ᾱς. ἢ εἰς ης. ὧν ἡ γενική εἰς ου. διά τοῦ αδης ποιεῖ τό πατρωνυμικόν. βορέας. βορέου βορεάδης. ἱππότης ἱππότου ἱπποτάδης. τά εἰς δης πατρωνυμικά εἰς την ου δίφθογγον ἔχουσι την γενικήν, ἐκ τοῦ πηλείδης πατρωνυμικοῦ πλεονασμῷ

τοῦ α̅ γίνεται πηλειάδης. καὶ οἱ Ἴω-
νες χαίρουσι τῇ διαλύσει. καὶ διαλύ-
εται ἡ ει δίφθογγος καὶ γίνεται πη-
λεϊάδης. καὶ τροπῇ τοῦ ε̅. εἰς η̅.
πηληϊάδης. πηληϊάδου. τὰς εἰς ου
γενικὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν
γινομένας οἱ Ἴωνες διὰ τοῦ α̅ο̅ καὶ
διὰ τοῦ ε̅ω̅ προσφέρουσι καὶ ἢ ἐκ-
τείνουσι τὴν λήγουσαν καὶ συστέλ-
λουσι τὴν παραλήγουσαν. ἢ ἐκτεί-
νουσι τὴν παραλήγουσαν καὶ συστέλ-
λουσι τὴν λήγουσαν.

Πηδάλια. οἱ κύβερνοι τοῦ πλοίου.
ἐκ τοῦ πηδῶ. πηδῶ νηῶ ἀπηδαλίω.
οὐ γὰρ ἔχουσι πηδάλια. ἀλλὰ κώπαις,
παρὰ τὸ πλήττειν τὴν θάλασσαν.
πηδὸς γὰρ εἶδος ξύλου τῷ πλάτει
τῆς κώπης.

Πηδάλιον καὶ πλήοργον διαφέρει.
πηδάλιον διὰ τὸ ἐκ πηδοῦ εἶναι.
πηδὸς δὲ εἶδος δένδρου.

Πηδάλιον καὶ πλήθριον διαφέρει.
πηδάλιον μὲν νηός. πλήθριον δὲ
σχεδίας. τὸ αὐτὸ καὶ πλήοργον.

Πήληξ. ἡ περικεφαλαία. ἀπὸ τοῦ
πάλλειν καὶ κινεῖν τὸν φοροῦντα
πηλίκον. ἐκ τοῦ πολλάκις. ἢ πόθον.
Πηλὸς ὁ οἶνος. παρὰ τὸ πάλλειν
ὅ ἐστι πηδᾶν καὶ ταράσσειν τοὺς
πίνοντας.
Πίλος παρὰ τὸν πέσω μέλλοντα.
πέλος ἐστὶ καὶ πίλος. ἐπεὶ συμπε-
πίληται. ἀπολλώνιος δέ. παρὰ
τὸ πιλῶ ῥῆμα. εἴγε πιλνᾶται φησὶ
καὶ συνάπτεται, ἵνα κατασκευασθῇ.
οἱ δὲ παρὰ τὸ πελάσαι ἐτυμολο-
γοῦσιν. ἐπεὶ συμπελάζεται ἀλλήλοις
τὰ ἔρια. μάχεται δὲ αὐτῷ ἡ διὰ
τοῦ ι. γραφή.
Πηλὸς ὁ οἶνος. παρὰ τὸ πάλλω τὸ
σείω. οἱ γὰρ πίνοντες αὐτὸν σείονται
ὅθεν καὶ κραιπάλη.
Πηλὸς ὁ οἶνος. παρὰ τοῖς παλαιοῖς.
παρὰ τὸ πάλλειν ἡμᾶς πίνοντας ἐν
συμποσίῳ. οὕτως Ἡρωδιανός. παρὰ
τὸ πηλῶ τὸν οἶνον. ὁ κάπηλος
ὅ ἐστι πωλῶν.
Πηλός. διὰ τὸ πάνυ λεαίνεσθαι λίαν.
Πηλός. παρὰ τὸ παλάσσω τὸ ~

μολύνω· ἡ βεβρεγμένη γῆ· καὶ ὅμηρος.

παλάσσετο δ' αἵματι θώρηξ—

Πηλὸς βαθύας· ὁ βόρβορος· οὕτως ἡ παρά-
-δοσις· οὕτω καὶ προπηλακίζειν· οἱ
δὲ Δωριεῖς παλόν.

Πηλὸς βόρβορος· οἱ μὲν διὰ τοῦ ῑ· πα-
-ρὰ γὰρ τὸν πιέσω μέλλοντα πιελὸν
αὐτὸν εἰρήκασι καὶ πηλόν· ἐπεὶ
συμπεπίεσται· Ἀπολλώνιος δὲ ὁ τοῦ
Ἀρχιβίου παρὰ τὸ πηλῶ ῥῆμα· ἐπεὶ
πιλνᾶται φησὶ καὶ συνάπτεται ἵνα
κατασκευάσθη· οἱ δὲ παρὰ τὸ πέλας
καὶ πελάζω ἐτυμολογοῦσιν· ἐπεὶ πελά-
-ζεται ἀλλήλοις τὰ ἔρια· οἷς μάχεται
ἡ ὀρθογραφία· καὶ ἡ χρῆσις· καὶ τὸ
ῥῆμα πηλῶ.

Πηλὸς εἰς τὸ ἀμπελόεσσα· καὶ ἄμπε-
-λος καὶ κύπελος· καὶ προπηλακισθέντες.

Πηλούσιον· παρὰ τὸν πηλέα.

Πῆμα· βλάβος· πένθος· παρὰ τὸ
πήθω τὸ πανθάνω γίνεται πῆμα.
καὶ ἐξ αὐτοῦ πημαίνω· ὡς δεῖμα
δειμαίνω· τὸ δὲ πῆμα παρὰ τὸ
πήθω· τὸ πανθάνω· οὗ ὁ μέλλων

πύθω καὶ ἐξ αὐτοῦ πῦμα καὶ πυ-
:εός.

Πῦμα· πάθος· παρὰ τὸ πάθω· καὶ
παθεῖν· καὶ παρὰ τὸ κύθω· κύθω.
κῦμα· οὕτω καὶ πύθω· πύθω· πῦ-
:μα.

Πύματα· παρὰ τὸ πύθω· τὸ πάσχ-
:ω· ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος
ἔπαθον.

Πείθω· διὰ τοῦ ῑ· ἐξ οὗ καὶ πει-
:θώ· πεῦμα· παρὰ τὸ πεύθω τὸ
πυνθάνω· οὗ ὁ μέλλων πεύσω· ὁ
παρακείμενος πέπυκα· ὁ παθη-
:τικὸς πέπυσμαι· καὶ ἐξ αὐτοῦ
πῦμα.

Πύμεν· πῖ δέ· δωρικῶς δὲ διὰ
τοῦ ᾱ.

Πυνικίζω· τὸ πάνυ αἰκίζω.

Πυνίον· εἴλυμα νεόκυς.

Πυνίκα· ἐπίρρημα ἐρωτήσεως.
πότε ἢ ἐν προσθέσει προσλαμβά-
:νει τὸ ῑ· καὶ γίνεται ῥῆμα ἐξ
αὐτοῦ· ἔνι ἀντὶ τοῦ ἦν· καὶ οὐκ
ἔνι· ἀντὶ τοῦ οὐκ ἔστι· καὶ ἐκ

τοῦ ἔνι γίνεται· ἐνίκα· καὶ ἡνίκα
καὶ πηνίκα·

Πηὸς ὁ συγγενής· τὸ πη· η· διὰ-
-τί· ἢ ὅτι κατὰ διάλεκτον εὑρή-
-σθαι πάος· ἢ ἐκ τῆς παραγωγῆς
αὐτοῦ. ἔστι γὰρ πῶ ῥῆμα· σημαί-
-νει τὸ κτῶμαι. ἐξ οὗ ὁ μέλλων πά-
-σω· ἐξ οὗ πάμων καὶ πολυπά-
-μων, γίνεται οὖν πάος καὶ τροπῇ
τοῦ α εἰς η πηός· διαφέρει δὲ
πηὸς φίλου· φίλοι μὲν γὰρ λέγον-
-ται οἱ μηδὲν τῷ γένει προσήκον-
-τες· πηοὶ δὲ οἱ κατ' ἐπιγαμί-
-αν συγγενεῖς.

Πηός· παρὰ τὸ πάω· πάσω
τὸ κτῶμαι· ὅθεν πάμων καὶ
πολυπάμων.

Πῆ μὲν· σύνδεσμος αἰτιολογικός.
πῆ δὲ σύνδεσμος ἐναντιωματικός.

Πηνελόπη· ὄνομα κύριον· πηνέ-
-ος ἰσ πτερχνιός·

Πήρα· ἤτοι φέρα τις οὖσα· πα-
-ρὰ τὸ φέρειν· ἢ παρὰ τὸ παρηρ-
-τῆσθαι· ἢ τροπῇ τοῦ φ εἰς τὸ π.

ῶς πίσυρες. τίσυρες. οἷον τήρα
τις οὖσα. παρὰ τὸ τηρεῖν. ἢ
ἐν τῷ τηρεῖν εἰργασμένη.
Πήρα. ὁ θύλακος. ὅθεν καὶ χαρ=
=τοπήρειον. παρὰ τὸ πήθω. ὃ
ἐστὶ ὁ μέλλων πήσω.
Πήρα σημαίνει τὸ σακκοπάθνιον:
ἔστι πήθω τὸ πανθάνω. ἐξ οὗ ὁ μέθος
παρακείμενος πέπηθα. καὶ ἐξ αὐ=
=τοῦ κατὰ τροπὴν τοῦ θ. εἰς ρ̄
πήρα. ταύτην γὰρ οἱ πάσχοντες
ὑπὸ τῆς ἐνδείας. βαστάζουσι. γρά=
=φεται διὰ τοῦ η̄. διότι ἀνεμφά=
=νει τὸ ᾱ. καὶ εἰς τὸ πῆρα.
Πήρινες. οἱ ὄρχεις διὰ τὸ πηριδ=
=δας ἴνας ἔχειν.
Πήσσω. δηλοῖ τὸ ἐπαγήν. ὁ δεύτε=
=ρος ἀόριστος.
Πήνη. ἡ ἐργασία.
Πῆριν. ὁ ὄρχις. διὰ τοῦ ῑ γρά=
=φεται. ἐπειδὴ δικατάληκτά εἰσι.
Πηρός εἰς τὸ ἀνάπηρος.
Πηρὸς ὀξυτόνως μὲν τὸ πεπηρωμένον.

καὶ βεβλαμμένον τὴν διάνοιαν.
τόν τε ἐνεὸν καὶ ἄφωνον. πῆρος
δὲ προπερισπωμένως ὁ τυφλός.
πήσσω. εἰς τὸ αἴτνη. καὶ παχύς.
πήνω. εἰς τὸ πέπονθε.
πῆχυς. τὸ πῆ. ῆ. δωρικῶς γὰρ
πᾶχυς φασί.
πῆχυς. παρὰ τὸ πεπηγέναι
ἄκρῳ τῷ βραχίονι. καὶ ἐξ αὐτοῦ
πηχυαῖος.

## τὸ π μετὰ τοῦ ι.

πίθος. παρὰ τὸ πίνω. ἀφ' οὗ ἔστι
πιεῖν.
πιαίνω. λιπαίνω. παρὰ τὸ πῖον ὃ
σημαίνει τὸ λιπαρόν.
Πιανάτω. προστακτικὸν ἀορίστου πρώ=
=του τὸ ῥῆμα πιαίνω. ὁ μέλλων
πιανῶ. ὁ ἀόριστος ἐπίανα. καὶ τὸ
προστακτικὸν πίανον. πιανάτω.
Πίθι. ἐκ τοῦ πίνω. ὁ δεύτερος ἀόριστος
ἔπιον. ἡ μετοχὴ πιών πιόντος.
καὶ τὸ προστακτικὸν πίετε. καὶ
κατὰ συγκοπὴν πίθι.

πίδαξ· ἡ μικρὰ πηγή· ἐκ τοῦ πι-
-εῖν καὶ ὁ κώνωψ.

πίθος τὸ ἀγγεῖον· καὶ ὁ πόθος.

πιαλέα· κάθυγρος· λιβάδα ἔχουσα·
παρὰ τὸ πιάλαι· τοῦτο· παρὰ τὸ
πίω ῥῆμα· ὃ σημαίνει τὸ ποτίζω.

πῖ· παρὰ τὸ παίω· ὁ γὰρ τούτου
φθόγγος· ὡσεὶ πάρυλος καὶ κρουσ-
-τὸς ἦχος ἐστί.

πιέζω· εἰς τὸ πιέζονται· καὶ ὄζω.

πίθηκος· παρὰ τὸν ἐπιθήσω μέλ-
-λοντα· ἀπὸ τοῦ πιθῶ πεισθησο-
-μένη· πείθει γὰρ τὸ ζῷον εἰδεχ-
-θὲς ὂν προσέχειν αὐτῷ· οὕτω
φιλόξενος ἐν τῷ περὶ μονοσυλλά-
-βων ῥημάτων.

πίθηκος· ὅτι τὸ πᾶν ἠθικεύει.

πίερ ἐθνικόν· μακεδόνιος.

πιλάτος· ἐκ τοῦ σπίλος ὃ σημαίνει
τὸν ῥύπον· σπιλάτος καὶ πιλάτος.
τὸ λᾶ μακρὸν φύσει· τὸ πι· τ·
διατί· ὡς τὸ τρωΐλος.

πίλος τὸ κέντουκλον· παρὰ τὸν
πίσω μέλλοντα· ἐπειδὴ καὶ συμπε-
-πίασται, καὶ εἰς τὸ πεπιλημένοι καί

πίλεον. διὰ τοῦ ῑ. γράφεται. πιέ-
σω· γέγονε πίελος. καὶ κράσει τοῦ
ῑ. καὶ ε̄. εἰς ῑ. μακρόν. πῖλος.
ὡς ἱερός. ἱρός.

Πιμελή. πάχος. πιομελή τις οὖ-
σα. ἢ πιαίνουσα τὰ μέλη ἡμῶν.

Πιμπλάντος. ἐκ τοῦ πιμπλῶ.
πίμπλημι παράγωγον. ἀόριστος πα-
θητικοῦ τρίτου προσώπου τῶν
πληθυντικῶν ἰωνικόν.

Πιμπλῶ. ἔστι πλῶ καὶ σημαίνει τὸ
πληρῶ. καὶ μετὰ ἀναδιπλασιασμοῦ
πιμπλῶ. ὅταν δὲ γένηται σύμφωνον.
ἀποβάλλει τὸ μ̄. οἷον ἐμπιπλῶ.

Πῖνος. εἰς τὸ αἰρόπιον.

Πινάκιον. πίναξ κινεῖν. ἤγουν
ὑπουργεῖν.

Πῖνα ὁ λίθος. διὰ τοῦ ῑ. γράφεται.
τῷ λόγῳ τῶν διὰ τοῦ ινα

Πινυτός. ὁ φρόνιμος. παρὰ τὸ
πονῶ. πονύω. πονυτός. καὶ πλεο-
νασμῷ τοῦ ῑ. πινυτός. ὁ διεγη-
γερμένος.

πιμπρεάς. ἀπό τοῦ πίμπρημι.
τό ἐμπρείζω.

πίδαξ. ὁ κρουνός. παρά τό πιεῖν.
τινές δέ παρά τό πηδῶ. κατά
μεταβολήν τοῦ η. εἰς ῑ. βοιωτικῶς.

πίνω. διά τοῦ ῑ. ἀπό τοῦ πίω
γέγονε. κατ' ἐπένθεσιν τοῦ ν. ὡς
δύω. δύνω. τό δέ ἐπί βαρυτόνου
ῥήματος. ἐπί τῶν ἐχόντων δίχρο-
νον μόνον. εἴωθεν ἐπεντίθεσθαι.
δύω. δύνω. οὕτω καί πίω. πίνω.
μόνως ἐκτείνει τό ῑ. οἷον

νέστορα δ' οὐκ ἔλαθεν ἰαχή πίνοντά περ ἔμπης.
τό δέ πίω. ἐκτείνει καί συστέλλει.
οἷον πίομεν. συστέλλει δέ πίον.
πῖον τό λιπαρόν. ὄνομα οὐδέτερον.
ἔστι πίω. ἐξ οὗ καί πίνω. ὁ δεύτερος
ἀόριστος ἔπιον. καί λοιπόν ἐκ
τοῦ πίω. γίνεται ὄνομα πίων. τοῦ
πίονος. καί ἡ πίων καί τό πῖον.
ὁ γάρ λιπαρός πιότητα πολλήν
ἔχει. ἐξ αὐτοῦ δέ γίνεται πιότης
καί πιαίνω. καί πῖον οὐδέτερον.
καί εἰς τό λίπος.

πίπτω· διὰ τοῦ ῑ γράφεται.
ἐπειδὴ παρὰ τὸ πτῶ γέγονε
πίπτω· κατὰ ἀναδιπλασιασμόν
ὡς χρῶ. κιχρῶ. στῶ. ἱστῶ. δῶ. δι-
δῶ. πλῶ. πιμπλῶ. τρώσκω
τιτρώσκω. ἢ ἀπὸ τοῦ πίσσω
Αἰολικῶς πίπτω γέγονε. τὸ γὰρ
ππ. ττ. εἰς δύο σσ τρέπουσιν.

Πινοτήρης. διὰ τοῦ ῑ γράφεται.
παρὰ γὰρ τὸ πίνα γέγονε καὶ τὸ
τηρῶ. πινοτήρης. ὁ τὴν πίναν
τηρῶν. ἤγουν τὸν λίθον.

Πίσμα. εἰς τὸ πεῖσμα. καὶ εἰς
τὸ αἷμα.

Πισός. εἰς τὸ τιμή.

Πίσα. ὁ βοτανώδης τόπος. καὶ
δίυγρος. σημαίνει δὲ ὄνομα πόλεως.
διὰ τοῦ ῑ. γράφεται. παρὰ τὸν
πίω. πίσω μέλλοντα γέγονε πίσα.
οἱονεὶ ἡ ἔχουσα πολὺ ὕδωρ.

Πίσσα. παρὰ τὸ ἀποπεσεῖν λέ-
γεται. ἢ παρὰ τὸ ὑδαρὴν οὖσαν,
πίσσαν.

πίσσα· παρὰ τὸ πίτος.

πίμπλαντο· πλέω· πλῶ· πιμπλῶ·
εἶτα πίμπλημι. δευτέρας συζυγίας
τῶν εἰς μι. ὁ παρατατικὸς κατὰ
τὸ τρίτον τῶν πληθυντικῶν.

πίσυνος· πεπιστευκὼς· τεθαρρη-
-κὼς· πεποιθὼς· παρὰ τὸ πιστὸς
πιστόσυνος· καὶ συγκοπῇ πίσυνος.

πίτυλος· εἰς τὸ ἀλλόκοτον.

πίτυρον· ἔστι πτίσσω· καὶ σημαί-
-νει τὸ κοπανίζω· καὶ ἐκ τούτου
γίνεται πίσυρον· καὶ τροπῇ τοῦ
σ· εἰς τ. πίτυρον· τὸ κοπανισ-
-μένον τῆς κριθῆς· τοῦτο γὰρ
τὸ πτίσσω· διὰ τοῦ τ· γράφεται.
καὶ πτισάνη τὸ κόπανον· πτήσσω
δὲ τὸ φοβοῦμαι· διὰ τοῦ η· ἐξ
οὗ καὶ πτὼξ ὁ λαγωός.

πίειρα· σημαίνει τὴν λιπαράν.
κατὰ μὲν τὴν ἄρχουσαν· διὰ τοῦ
ι γράφεται· παρὰ γὰρ τὸ πίω
γέγονε· κατὰ δὲ τὴν παραλήγουσαν.

πιμελή· ὀξύνεται· καὶ ἔστι θηλυκοῦ
γένους· καὶ σημαίνει τὸ λίπος. καὶ

διὰ τοῦ ῑ. γράφεται. παρὰ γὰρ
τὸ πίω. καὶ τὸ μέλος. γίνεται πιο-
μελή. καὶ ἐν συγκοπῇ πιμελή.

Πίστις. πίστιος. κοινῶς. καὶ πίστεος
ἰωνικῶς. καὶ πίστεως ἀττικῶς. καὶ τὰ
λοιπὰ ὁμοίως. ἐκ τοῦ πείθω ὃ ση-
μαίνει τὸ ἐλπίζω.

Πίετω. πίω. ἐν χρήσει. ἐξ οὗ εὕρηται
ἔκμα. ἔστι γὰρ ὁ δεύτερος ἀόριστος.
ἔπιον. καὶ τὸ προσταχτικὸν πίε. πιέ-
τω

Πιερία. ὄνομα τόπου, ὅπου ἐγεν-
νήθησαν αἱ μοῦσαι.

Πικρός. ὁ χολώδης. ἐκ τοῦ πικραί-
νω. παρὰ τὸ πέκος. ὃ σημαίνει τὴν
πεύκην. καὶ ἐν πλεονασμῷ τοῦ ρ̄.
πέκρος. καὶ τὸ ε̄. ἡνίκα πλεονάσει
σύμφωνον, τρέπεται εἰς ῑ. οἷον
ἔχω ἴσχω. μένω. μίμνω. πέκος πικρός.
καὶ σημαίνει τὸν ὑπέρχολον.

Πικρία. χολή.

Πικρία. παρὰ τὸ πικρός. τοῦτο
παρὰ τὸ πέκος γίνεται. πικρός.
καὶ τὸ ε̄. ἡνίκα πλεονάζει σύμφωνον,

τρέπεται εἰς ι. ἔπω. εἴπω. πεύ-
κος πικρός. ἡ μεταφορὰ δέ ἐστιν
ἀπὸ τῆς πεύκης.

Πίδω διὰ τοῦ ι. γράφεται. παρὰ τὸ πίω γέγονε. πιδᾶν γὰρ λέγουσιν ἐπὶ τοῦ ἀλλομένου ὕδατος. ἢ ἀπὸ τούτου πίδω γέγονε, κατὰ μετάθεσιν Αἰολικὴν τοῦ η. εἰς ι. ὡς ἥκω. ἷκον.

Πίφιγξ. εἶδος ὀρνέου. διὰ τοῦ ι δὲ γράφεται. κατὰ τὴν λῆξιν. καὶ κατὰ τὴν ἀρχήν. καὶ κατὰ μὲν τὴν λῆξιν. τῷ λόγῳ τοῦ πέρδιξ. κατὰ δὲ τὴν ἀρχὴν ὅτι παρὰ τὸ πίω γέγονε. χαίρει γὰρ τοῦτο τὸ ὄρνεον τοῖς ὕδασιν.

Πίτυς. ἡ πεύκη.

Πίων ὁ λιπαρός. ἐκ τοῦ πίω. τὸ ι μακρὸν διατί. κανὼν γάρ ἐστιν ὁ λέγων. τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα μὴ ὄντα κύρια ἐκτείνει τὸ ι. οἷον κίονος. πείονος. οὕτως οὖν καὶ πίονος. οἱ δὲ παρὰ τὴν πόαν.

## τὸ π̄ μετὰ τοῦ λ̄.

Πλάζουσι. πλανῶσι. τὸ πλάζω. ἐκ τοῦ πλανῶ. τοῦτο ἐκ τοῦ πλάνη. τὸ πλάνη ἐκ τοῦ ἄλη. τοῦτο ἐκ τοῦ ἄλω. τὸ θέλω. καὶ τοῦ στερητικοῦ ᾱ. ἄλω. ὁ γὰρ πλανώμενος οὐχ ὅτι θέλει πορεύεται.

Πλάζω παρὰ τὸ πλανῶ. πλανάζω. καὶ πλάζω.

Πλάκες διὰ τὸ πλατέως καὶ πλαγίως κεῖσθαι.

Πλάνη. παρὰ τὸ πελάζω. ὅπερ κατὰ συγκοπὴν πλάζω. οἱ γὰρ πελαζόμενοι. πρόδηλον ὅτι ἐπλανήθησαν. ἢ παρὰ τὸ πλαγιάζειν τὸν νοῦν. ἢ ἐκ τοῦ ἄλω τὸ πλανῶ. ἄλη. καὶ πλάνη. δύο σημαίνει τὸ πλανῶ. τὸ ἀπατῶ καὶ τὸ γυρεύω.

Πλατυσμός. παρὰ τὸ πλατύνω. τοῦτο παρὰ τὸ πλατύς. τοῦτο παρὰ τὸ πολύς. καὶ τὸ ἄτον ὃ σημαίνει τὸ εὖρος.

Πλανῆτιν. ἐκ τοῦ πλανήτης —

ἀρσενικοῦ. τοῦτο ἐκ τοῦ πλάζω. οἱ γὰρ πλαζόμενοι πλανῶνται. τοῦτο παρὰ τὸ ἄλω τὸ πλανῶ. τοῦτο δὲ ἐκ τοῦ πλάζω. ἢ παρὰ τὸ πελάζω.

πλάστιγξ. ἡ ζύγη. παρὰ τὸ πλατεῖα εἶναι.

πλάστης. παρὰ τὸ πλάσσω. τὸ ταῖς χερσὶ κατασκευάζω. πλάσω. πέπλασμαι. πέπλασαι. πλάστης. καὶ σημαίνει τὸν δημιουργόν.

πλαστουργός. παρὰ τὸ πλάσσω. πλάσω. ὁ παρακείμενος πέπλακα. ὁ παθητικὸς πέπλασμαι. πέπλασαι, πλάστης. καὶ μετὰ τοῦ ἔργου γίνεται πλαστουργός. καὶ ἐν συναιρέσει πλαστουργός, ὀξύνεται. τὰ παρὰ τὸ ἔργον συντιθέμενα. εἰ μὲν μετὰ πτωτικῶν συνθέτων ὀξύνεται. τὰ
× παρὰ τὸ ἔργον συντιθέμενα. οἷον πλαστουργός. ξυλουργός. ἀμπελουργός. φωτουργός. εἰ δὲ μετὰ τῶν ἀπτώτων προπαροξύνονται. πλὴν τοῦ ἑκάεργος. σεσημείωται τὸ συνεργός. ὀξυνόμενον

Πλάσω. εἰς τὸ ἀνάπλασις.

Πλατάνιστον. εἰς τὸ πρὸς ἐά πλατάνιστον. καὶ πρώτιστον.

Πλέας. ὄνομα. πλέον. καὶ πλέας. ὥσπερ ἐστὶ χερείων. ἡ αἰτιατικὴ τὸν χερείονα. καὶ συγκοπῇ χέρεια.

ἀλλὰ τὸν υἱὸν γείνατο οἷο χέρεια.

μάχη.

καὶ τὸ οὐδέτερον τὸ χέρειον. καὶ τὰ χέρεινα. συγκοπῇ χέρεια. χέρεια δὲ χειρόνιδος. οὕτως ἐπὶ πλείων ἀττικῶς. ἐκβολῇ τοῦ ι. πλέων καὶ πλέες περιπλέες. καὶ ἡ αἰτιατικὴ πλέονας. καὶ ἐν συγκοπῇ πλέας.

Πλείων. διὰ τῆς ει διφθόγγου. πρῶτον μὲν ὠνεῖται, καὶ πλέον χωρὶς τοῦ ι. δεύτερον δὲ ὅτι τὰ εἰς ων καθαρά, δισύλλαβα συγκριτικά. διφθόγγῳ θέλουσι παραλήγεσθαι. οἷον λῷον. μεῖον. ῥᾷον. πρόσκειται καθαρόν. διὰ τῶν εἰς ων. δισυλλάβων διὰ τοῦ ἡδίων. γλυκίων. τρίτον δὲ ὅτι οἱ Δωριεῖς διὰ τοῦ η. γράφουσιν αὐτό. ἔθος γὰρ ἔχουσι τὴν ει δίφθογγον, εἰς τὸ η τρέπειν.

πλείων. ὁ ἐνιαυτός. διὰ τῆς ει
διφθόγγου γράφεται. παρὰ γὰρ τὸ
πλεῖον γέγονε τὸ σημαῖνον τὸ πλή-
ρες. οἱονεὶ ὁ πλήρης χρόνος. ὅπερ
πλείονος δέδεικται, διὰ τῆς ει διφ-
θόγγου γράφεσθαι. ὀξύνεται δέ.
ἐπειδὴ δοκεῖ παραγωγικὸν εἶναι.
πλείων γὰρ ὁ ἐνιαυτός. παρὰ τὸ
περιέχειν πλήρεις χρόνους. τὰ δὲ εἰς
ων παραγωγικὰ ὀξύνεσθαι θέλουσιν.
ἄλλως τε διὰ τῆς ει διφθόγγου γρά-
φονται. ἐπειδὴ παρὰ τὸ πλειάς
γέγονε. καὶ γὰρ αἱ πλειάδες σημαν-
τικαί εἰσι τοῦ ἐνιαυτοῦ. δύουσαι
μὲν γάρ, τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ
δηλοῦσιν, ἀνατέλλουσαι δὲ τὸ τέλος.
τὸ δὲ πλειάς διὰ τῆς ει διφθόγγου
γράφεται. ἐπειδὴ εὕρηται κατὰ
διάστασιν τῆς ει καὶ ἔκτασει τοῦ
ε εἰς η. οἷον πληϊάς.
πλάσσω. παρὰ τὸ πάσσω. τὸ ποι-
κίλλω.
πλειαί τοι. ἐκ τοῦ πλείων, καὶ κατὰ

μεταπλασμὸν γίνεται πλεῖος καὶ πλεῖαι.
τὸ πληθυντικὸν πλεῖαί τοι χαλκοῦ κλισίαι.
πλειάς. ἢ ἐκ πλειόνων ἀστέρων οὖσα.
πλεῖν. διὰ τῆς ει διφθόγγου. ἔστι
ῥῆμα πλέω. πλέεις. πλεῖς. καὶ
πλέει. πλεῖ. καὶ τὸ ἀπαρέμφατον
πλέειν. πλεῖν. καὶ κρᾶσει τῶν δύο
εε. πλέειν πλεῖν. ὡς ῥέειν ῥεῖν καὶ
πνέειν πνεῖν.

πλεῖν τοῦ ἀποπλεῖν καὶ περιπλεῖν
διαφέρει. πλεῖν μὲν γάρ ἐστι. τὸ
καθόλου πλέειν. ἀποπλεῖν δὲ τὸ
ἐκ τόπου τινὸς ἀπαίρειν. παρα:
:πλεῖν δέ. τὸ τόπον τινὰ πλῷ
διέρχεσθαι. περιπλεῖν δὲ τὸ ἐπὶ
σκάφους ἀναστρέφεσθαι. ἐπὶ τὸν
αὐτὸν τόπον

πλεῖον. παρὰ τὸ πολὺ πολέος.
καὶ ἐν συγκοπῇ πλέος. καὶ μετὰ
τοῦ ι. πλεῖος. καὶ πλείων συγκρι:
:τικὸν πλέος. καὶ τὸ οὐδέτερον
πλεῖον.

πλεῖον. ἐκ τοῦ πλέον. κατὰ πλε:
:ονασμὸν τοῦ ι. γράφεται διὰ—

διφθόγγου. ἐπειδὴ οἱ βοιωτοί. πλῆον
λέγουσι διὰ τοῦ η.

πλευρόν παρὰ τὸ πέλειν εὐρύ. ἤγουν
πλατύ. λέγεται καὶ θηλυκὸν ἡ πλευρά.

πλειών. ὁ ἐνιαυτός. ἀπὸ τοῦ πάντα
πεπληρῶσθαι. ἢ ἀπὸ τῶν πληϊάδων.
ἐξ αὐτῶν γὰρ οἱ σταθμοὶ τοῦ ποτὲ
δεῖ καὶ σπείρειν καὶ θερίσαι.

πλεῖστος. ἐκ τοῦ πλεῖον πλεῖστος. τὸ
συγκριτικόν ἐξ οὗ καὶ λέγεται τὰ
εἰς ων συγκριτικὰ καταβάντα εἰς
ὑπερθετικά. τὸ δὲ πλεῖον ἐκ τοῦ
πολύς. ὁ πρῶτος τύπος τῶν συγκρι-
-τικῶν. πολύτερος. ὁ δεύτερος πο-
-λείων. καὶ συγκοπῇ πλεῖον.

πλείων εἰς τὸ ῥᾷον. καὶ χερειώτερος.

πλεονασμός. εἰς τὸ ἀφεῖσθαι. καὶ
εἵνεκα. καὶ ὅσου.

πλευρά. ὄνομα οὐδέτερον. ἐκθετα
τῶν πληθυντικῶν. τὰ γὰρ ἀρσενικὰ
ἢ θηλυκά. εἰς οὐδέτερον γένος. μετα-
-πλαττόμενα τοῦ αὐτοῦ σημαινομένου
ὄντος, τὸν αὐτὸν τόνον φυλάττει,
οἷον δεσμοί. τὰ δεσμά. αἱ πλευραί

τὰ πλευρά· γίνεται δὲ παρὰ τὸ πολὺ εὖρα τινὰ ὄντα· τουτέστι πλατέα. τοῦτο παρὰ τὸ πολὺς καὶ τὸ εὖρος· ὃ σημαίνει τὸ πλάτος. εὐρὰ καὶ πλευρά.

πλέω· εἰς τὸ ὀχμάζω.

πληγή· δηλοῖ ὁ δεύτερος ἀόριστος ἐπλάγην, καὶ εἰς τὸ ἕλκος.

πληγή· διὰ τὸ ἐν πηλῷ γίνεσθαι, ἤγουν ἐν τῷ σώματι. πηλὸς γὰρ τὸ σῶμα.

πλῆθος καὶ ὄχλος διαφέρει. ὄχλος μὲν ἐστὶ κυρίως ἡ ὄχλησις. πλῆθος δὲ σύστημα τινῶν. καὶ ἄλλως. ὄχλος μὲν τὸ πολὺ καὶ ἀναρίθμητον πλῆθος. πλῆθος δὲ τὸ εὐαρίθμητον καὶ μεμετρημένον.

πλέκω. ἐκ τοῦ πέλκω. τοῦτο παρὰ τὸ ἕλκω. καὶ γὰρ ἐν τῷ πλέκειν σύρομεν, καὶ ἐν ὑπερβι-:βασμῷ πλέκω.

Πλεονεξία. ἐκ τοῦ πλέον ἕξω. καὶ τοῦ ἔχω.

Πλεονασμός· ἐκ τοῦ πλεονάζω. πλεονάσω· πεπλεόνακα· πεπλεόνασμαι

πλεοναςμός.

πλεονάκις· ἐκ τοῦ πλεονάζω· πλε-
ονάζω· τό κις· τ· διατί· τά εἰς
κις ἐπιρρήματα· διά τοῦ ι γρά-
φονται· οἷον ἑξάκις.

πλευρά· παρά τό πεπληρῶσθαι
πνεύματος· καί πλευμώδης.

πλήθω· εἰς τό γεγηθότα.

πλύνω· τό καθαίρω· παρά τό
πλύνειν· ἤ παρά τό ἐν τοῖς πλυ-
νοῖς καθαίρειν τά ἱμάτια· πλυνοί
δέ εἰσι δοχεῖα τοῦ ὕδατος διά
τοῦ ῡ ψιλοῦ· ἐκ τοῦ πλένω πλύνω
τοῦ ε̄ τραπέντος εἰς ῡ· τό δέ
πλένω· ἐκ τοῦ πλέω· ἀποκοπῇ
τοῦ ν̄· τό πλύνω σημαίνει τέσσα-
ρα· τό ἀποσμήχω· καί ἀπονίπ-
τω καί τό λοιδορῶ· καί ὑβρίζω.

πλήρεις· οἱ πλήρετες· οἱ πλήρεις.
εἴρηται.

πλόκαμοι· ἀπό τοῦ φοινικῶς πλέ-
κεσθαι· οἱ εἰς πλοκήν ἐπιτήδειοι.

πλημμελῶ· ἐκ τοῦ πάλιν καί τοῦ
μέλω· τό βραδύνω· παλιμμελῶ—

καὶ ἐν συγκοπῇ πλημμελῶ.

πλημμέλεια· ἡ ἁμαρτία· παρὰ τὸ πλημμελής· τοῦτο παρὰ τὸ πάλιν ὃ σημαίνει τὸ ἐκ δευτέρου, καὶ τὸ μέλω· τὸ φροντίζω· παλινμελῶ καὶ συγκοπῇ πλημμελῶ· σημαίνει τὸ ἐκ δευτέρου τὰ αὐτὰ φροντίζειν. τοῦ λέγειν ἢ ἐπαναλαμβάνειν.

πλῆμναι· αἱ χοινικίδες· αἱ περιέχουσαι τὸν ἄξονα· παρὰ τὸ πληροῦσθαι αὐτὰς ὑπὸ τοῦ ἄξονος.

πλήμνας· σημαίνει τοὺς τροχούς. τὰς σύριγγας· ἃς ἔνιοι χοινικίδας καλοῦσιν· εἰς ἃς ὁ ἄξων ἐνστρέφεται. παρὰ τὸ πληροῦσθαι ὑπ᾽ αὐτοῦ, ἢ παρὰ τὸ πλήθω.

πλήν· ἐπίρρημα χωριστικὸν ἀπὸ τοῦ τὸ πλησιάζω κατ᾽ ἀντίφρασιν. σημαίνει δὲ τὸ χωρίς. ἔστι δὲ ἐπίρρημα τάξεως.

πλῆξις· εἰς τὸ ἔπαυλος.

πλήρης· παρὰ τὸ πλῶ· τὸ πληρῶ· τοῦτο δὲ παρὰ τὸ πλήθω· καὶ κλίνεται ὁ πλήρης τοῦ πλήρεος· καὶ

τὸ θηλυκὸν ἡ πλήεσσα· καὶ τὸ οὐδέ-
-τερον τὸ πλῆεσσαν. ἢ ἐκ τοῦ πλεῖων
πλειήεις. καὶ πλήεις.
πλήεις. ὅτε ἔχει εὐθεῖαν τῶν ἑνι-
-κῶν ἐμπροσθεν διὰ τοῦ η γράφεται.
οἷον πλήεις ἡ γῆ ἀγαθῶν. ὅτε δὲ εὐ-
-θεῖαν τῶν πληθυντικῶν. διὰ τῆς
ει διφθόγγου. οἷον πλήεις αἱ ἄλω-
-νες σίτου. ἢ μεστά. γέμοντα. ἔμπλεα.
καὶ τὸ οὐδέτερον. πλῆεσσα.
πλήεν. εὐθεῖα τῶν πληθυντικῶν.
οὐδέτερον. τὰ πλήεντα καὶ πλήεν.
πλήεω. γεμίζω. τοῦτο ἐκ τοῦ πλήω.
πλήεις. ὥσπερ ἀπὸ τοῦ φρὴν φρε-
-νὸς γίνεται φρενήεις. καὶ ἀπὸ τοῦ
ξίφος ξιφήεις. καὶ ἀπὸ τοῦ τεῖχος
τειχήεις. οὕτω καὶ ἀπὸ τοῦ πό-
-λος πολήεις. καὶ κατὰ συγκοπὴν
πλήεις.
πλησίον. ὄνομα. μετήχθη εἰς ἐπίρ-
-ρημα. καὶ ἐστι μονόπτωτον. καὶ
γίνεται ἐκ τοῦ πλητός. πλήτιος.
καὶ τροπῇ τοῦ τ εἰς σ πλήσιος.

ἡ αἰτιατική τὸν πλησίον.

πλησίος· παρὰ τὸ πέλω· οὗ τὸ παράγωγον· πελάζω· οὗ ὁ μέλλων πελάσω· ῥηματικὸν ὄνομα κατὰ συγκοπήν· πλᾶτος καὶ πλῆτος. οὗ παράγωγον· πλητίος· καὶ τροπῇ τοῦ τ εἰς σ· πλησίος· ἢ παρὰ τὸ πέλας· ὃ σημαίνει τὸ ἐγγύς. γίνεται πελάσιος· καὶ συγκοπῇ πλάσιος· ἢ παρὰ τὸ πέλας ὃ σημαίνει τὸ ἐγγύς· γίνεται πελάσιος· καὶ συγκοπῇ πλάσιος· καὶ τροπῇ τοῦ α εἰς η· πλήσιος καὶ πλησίος. τῇ μεταβολῇ τοῦ τόνου.

πλησμονή· ἐκ τοῦ πλήθω.

πλήσσειν τὸ τύπτειν· ἀπὸ μεταφορᾶς τῶν πληγῶν.

πλείων εἰς τὸ ζήτρειον.

πλίνθος· παρὰ πήλινον θέσιν ἔχειν.

πλοῖον· ὡς ἐκ πολλῶν σανίδων ὄν, καὶ εἰς τὸ νῆες.

πλόκαμος· ὁ πλεκόμενος βόστρυχος· σειροπλόκος.

πλοῖον· τὸ πλοῖ δίφθογγον· ὅτι

οἱ Αἰολεῖς. πλόϊον φασί.

πλούσιος. ἤγουν πολυούσιος. ὁ πολλὴν ἔχων οὐσίαν. διαφέρει δὲ ἀφνειοῦ. εὐπόρου καὶ ὀλβίου. καὶ ἀφνειός ἐστιν. ὁ ἀφ' ἑνὸς ἐνιαυτοῦ τὴν οὐσίαν συλλέγων. ὄλβιος δὲ, ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων. πλούσιος δὲ ἐγράφη εἰς τὸ ὀλβιόδαιμον.

πλίσσοντο. διέβαινον. πλίσσειν γὰρ ἐστι τὸ μεταφέρειν σκέλος περὶ σκέλος. καὶ ἱπποκράτης.

πλῖγμα. τὸ μεταξὺ τῶν μηρῶν.

πλῶ. εἰς τὸ πιμπλῶ. καὶ πίπλω καὶ πλήν. καὶ πλήρης.

πλῶς. καὶ πλωτός. εἰς τὸ ῥέως.

τὸ π μετὰ τοῦ ν

Πνοή. ἐκ τοῦ πνέειν. τοῦ σημαίνοντος τὸ φυσᾶν.

πνεῖν τοῦ ἀποπνεῖν διαφέρει. πνεῖν μὲν γάρ ἐστι τὸ ζῆν τε καὶ πνέειν. ἀποπνεῖν δὲ τὸ ἀποθνήσκειν.

πλίνθις. μέτρον ἄστρον. μικρὸν ἢ

γεωμετρικόν.

Πνεῦμα· παρὰ τὸ πνεύσω μέλλοντα. πνᾶ:

Πνᾶ· ἐτυμολογεῖται τὸ πᾶν πνεῦμα.

πλινθίον· τὸ τετράχυσμον. ἢ πηλὸς ὀπτημένος.

Πνευματέμφορον· τὸ ὑπὸ τοῦ πνεύματος πεπληρωμένον. γίνεται παρὰ τὸ πνεῦμα. πνεύματος. καὶ τὸ ἐμφορῶ. ὃ σημαίνει τὸ πληρῶ. ἤγουν τοῦ πνεύματος πεπληρωμένου.

Πνεύμ.· ὅτι ἐν αὐτῷ τὸ πνεῦμα μένει.

Πνεύμ.· ἀναλόγως διὰ τοῦ πνεύματος. ταμίας γὰρ τοῦ πνεύματος.

Πνιγεύς· ἔστι χεῦβις εἰς τὸ πνιγέα εἰσάγεσθαι. παρὰ τοῖς κωμικοῖς ὁ φοῦρνος. πνιγεὺς λέγεται. ἔστι δὲ καὶ τοῦ ὑδραυλικοῦ ὀργάνου μέρος τι σημαῖνον τὸν φοῦρ. γίνεται δὲ παρὰ τὸ πνίγω.

Πόα· εἰς τὸ ποικίλος.

Ποδάγρα· διὰ τὴν πολλὴν ἀγριότητα.

Ποδαλείριος· οἱ μὲν παρὰ τὸ πόδα,

καὶ τὸ ἀλείριος. τουτέστι τοὺς πό-
:δας λειρίους ἔχειν. οἱ δὲ παρὰ τὸ
τοῖς ποσὶ λείρια ἐπιτιθέναι. ἅ
ἐστιν ἄνθη. καὶ εἰς τὸ δαίφρων.
Ποδαλείριος. ὄνομα κύριον. διὰ τῆς
ει διφθόγγου γράφεται. παρὰ γὰρ
τὸ λείριον γέγονε. ὅπερ δέδεικται
διὰ τῆς ει διφθόγγου. διαφόρως
δὲ τοῦτο σχηματίζουσιν. οἱ μὲν
λέγουσιν, ὅτι ποδαλείριος λέγεται.
ὁ ἔχων πόδα λείριον. ἤγουν ἁπαλόν.
ἄτοπον γάρ ἐστιν, ἥρωας πόδα λέ-
:γειν ἁπαλόν. ἕτεροι δὲ λέγουσιν.
ὅτι παρὰ τὸ λείριον τὸ ἁπαλὸν
γέγονεν ἀλείριον. τῆς α στερήσεως
προσκειμένης. καὶ ἐπειδὴ τὸ ποδα-
:λείριος. παρὰ τὸ ἔχειν τοῦ πόδα.
περὶ τὰ λείρια ἤγουν τὰ ἄνθη.
βοτανικὸν γὰρ καὶ ἰατρικὸν τοῦτο.
Ποδάρκης. ὁ ἐπαρκεῖν τοῖς ποσὶ
δυνάμενος τουτέστι βοηθεῖν. διὰ τὸ
ὀξὺ τοῦ δρόμου. ὤφειλε δὲ εἶναι
ποδάρκης ὀξύτονον ὡς ἐπίθετον.

ἀλλὰ δεδημηκίωται. τὰ παρὰ τὸ ἄντω καὶ ἀρκῶ. καὶ αὐθάδης. γί:νεται δὲ ἡ κλητικὴ ποδάρκες. ὡς αὔταρκες. καὶ τὸ οὐδέτερον πο:δαρκὲς ὀξυτόνως. τῶν ἄλλων ὁμοφω:νούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ.

Πλοῦτος. πολυετός τις ὤν. ἐκ τοῦ πολὺς καὶ τὸ ἔτος, ὁ ἐκ πολλῶν ἐτῶν συναγόμενος.

Πνίγω. διὰ τοῦ ι. ἐπειδὴ πέπνιγα ἐστὶν ὁ μέλλων παρακείμενος. εἰ δὲ ἐγράφη διὰ τῆς ει. πέπνιγα ἄρ ἦν. καὶ γὰρ ἡνίκα ὑφέληται τὸ ε. ἐν διφθόγ:γῳ τῷ μέλλοντι. ἢ μόνον ἢ μετὰ τοῦ ι. τρέπεται εἰς ο. ἐν τῷ μέλλω πα:ρακειμένῳ.

Πλῆμαι. καὶ πλῆμναι διαφέρει. πλῆμαι αἱ πλημμελείδες τῶν ποτα:μῶν. πλῆμναι δὲ αἱ τῶν τροχῶν σύριγγες.

## τὸ π μετὰ τοῦ ο.

Ποιότης. εἴρηται. ἀπὸ τοῦ ποιεῖν τι περὶ τὴν αἴσθησιν. ὅμηρος.

Ποδάρκης· ὁ ἐπαρκῶν ἑαυτῷ δυνάμενος· δι' ὀξύτητα τῶν ποδῶν διώκων καὶ ἀποφεύγων τοὺς πολεμίους·

Ποθεινός· διὰ τῆς ει διφθόγγου· τῷ λόγῳ τοῦ αἰπεινός· ἢ ὅτι οἱ Αἰολεῖς ποθεινός λέγουσι·

Πόδας· παρὰ τὸν παύσω μέλλοντα γίνεται παῦς· καὶ τροπῇ τοῦ α· εἰς ε· πούς· ἐκεῖ γὰρ παύεται τὸ πνεῦμα τῇ καταληγούσῃ· ἢ ἀπὸ τοῦ ποεὸς ὀξυτόνου, τοῦ σημαίνοντος τὸν ἐνεργοῦντα· ἐκθλίψει τοῦ ε καὶ κράσει πούς·

Πόδες· διὰ τὸ πατεῖν τὸ ἔδαφος· ἢ πατεῖν τὴν ὁδόν·

Ποδαπός· ἀντὶ τοῦ ὁποῖος· ἢ ποίας χώρας· δάπεδον δὲ τὸ ἔδαφος·

Ποδοστράβη· ἐκ τοῦ ποδὸς· καὶ τοῦ ἀστράβη εἴρηται·

Ποδήρης· εἰς τὸ χαλκήρει·

Ποδοκάκη· ποδῶν κάκωσις ὁ λεγόμενος κοῦσπος· ξύλον ἐν ᾧ οἱ κακοῦργοι

δεσμεύονται. οἷον ποδοκατοχή τις οὖσα. ἐν ᾗ. οἱ πόδες κατέχονται.

ποδοστράβη. τὸ γινόμενον πρὸς τὰ στρέμματα τῶν ποδῶν ξύλον. ξενοφῶν δέ, τὴν τοῖς ἐλάφοις ἱσταμένην πάγην. παρὰ τὸ πούς καὶ τὸ στρέφω.

Ποθεῖν. εἰς τὸ ἐρᾶν.

Πόθεν. ἐκ τοῦ πῦ κατ' ἔκτασιν. πῦθεν καὶ πόθεν. τὸ δὲ πῦ ἀπὸ τοῦ ὅθεν ἐπιρρήματος τοπικοῦ κατὰ πρόσθεσιν τοῦ π. τὸ δὲ πόθεν. ἐκ τοῦ ὅθεν καὶ πόθεν.

Ποῶ. ποιῶ. ποῶσι. ποιοῦσι πλεονασμῷ τοῦ ι.

Πόθος. παρὰ τὸ πήθω. τὸ πάσχω. ὁ δεύτερος ἀόριστος ἔπαθον. καὶ ἐξ αὐτοῦ πόθος. ὁ γὰρ ποθῶν τινὰ προαιρεῖται τι παθεῖν ὑπὲρ αὐτοῦ. ἢ παρὰ τὸ πάνυ θεῖν ἤγουν τρέχειν. ὁ γὰρ ποθῶν τινὰ πρὸς αὐτὸν καὶ διατρέχει.

Ποῖ. εἰς τὸ ποῖς. πόθεν τὸ ποιεῖν.

Ποῖα. ὁ ἐνιαυτὸς Καλλίμαχος.

Αἴγυπτος προπάροιθεν ἐπ' ἐννέα κάρφετο ποίας.

εἴρηται παρὰ τὴν ποιότητα. διὰ
τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ
τὴν βοτάνην φύεσθαι.

Ποιεῖν. τοῦ περιποιεῖν διαφέρει.
ποιεῖν μὲν γάρ ἐστι. τὸ κατασκευά-
ζειν τι. περιποιεῖν δὲ, τὸ περικ-
τᾶσθαι ἢ κοσμεῖν.

Ποιήσειας. τὰ εἰς μι εὐκτικὰ ἀορισ-
τα ὄντα οἱ Αἰολεῖς διὰ τοῦ ειας
προφέρουσιν. οἷον τύψαιμι τύψειας.
γράψαιμι. γράψειας. ζήσαιμι. ζήσειας.
οὐ λέγουσι, διότι τὰ εὐκτικὰ εὐχὴν
δηλοῦσι πράγματος. ὀφείλοντος πλη-
ρωθῆναι. ὁ γὰρ λέγων γράψειας. εὔ-
χεται ὅπως εἰς τέλος ἔλθοι τοῦ γράψ-
αι. ὁμοίως καὶ τὰ λοιπά. ὅθεν οὐ
δεῖ λέγειν ζήσειας. ὁ γὰρ τοῦτο λέγων
εὔχεται ὅπως εἰς τέλος ἔλθοι ζωῆς.
καὶ λοιπὸν εὑρίσκεται καταρώμενος ἑαυ-
τὸν ἀλλὰ ζώω. ζώης. ζώῃ.

Ποίησις. ποιήματος διαφέρει. ὡς διή-
γησις διηγήματος. καὶ ποίησις μὲν γάρ
ἐστιν ἡ πολλὰ πράγματα ἐν ἑαυτῇ
περιέχουσα. ποίημα δὲ διήγημα ἐν

πρόσωπον ἔχον. ὡς τὸ παρὰ Φιλλίδι.

Ποιητὴς δημιουργοῦ διαφέρει. ποιητὴς μὲν γάρ ἐστιν. ὁ ἐξ ὑποκειμένης ὕλης. τί ποιῶν. δημιουργὸς δὲ ὁ ἐκ μὴ ὄντων παραγάγων.

Ποικίλον. ἐκ τοῦ πέλω. τὸ ὑπάρχω. γίνεται πελίκος. καὶ τροπῇ τοῦ ε. εἰς ο. καὶ πλεονασμῷ τοῦ ι. ποι:κίλος.

Ποικίλος ἀπὸ τοῦ πέλω. τοῦ σημαί:νοντος τὸ ὑπάρχω. καὶ τροπῇ τοῦ ε. εἰς οι. καὶ προσθέσει τοῦ κι. ποι:κίλος.

Ποιμὴν. ὁ ἐπὶ πόαν τὰ θρέμματα νέμων. ποαμὴν καὶ ποιμὴν. διαφέρει δὲ ποιμὴν βοσκοῦ.

Ποίμνιον εἰς τὸ αἰπόλιον. καὶ πόλεμος.

Ποκὰς. παρὰ τὸ πέκω. ἡ ἐξαμμένη ἔρια.

Ποιναίω. τιμωρητικῷ. ὡς ἀπὸ τοῦ ποινὴ γίνεται ποιναῖος. ὡς ἀπὸ τοῦ ῥώμη ῥωμαῖος. τὸ γὰρ ποινὴ ἀπὸ τοῦ πόνος. πονὴ καὶ ποινή. τὸ δὲ πόνος σημαίνει τρία. τὸ γυμνάσιον ὡς παρὰ ἱπποκράτει. ἄσκησις ὑγιείης

ἀκροσίῃ τροφῆς. ἀσκνίῃ πόνων. ἀγω-
-νὶ τοῦ γυμνασίου. σημαίνει δὲ καὶ
τὴν ὀδύνην. ὡς παρὰ τῷ αὐτῷ πάλ-
-ιν. ἐν ὠνοσήματι. ὕπνος πόνον
ποιεῖ θανάσιμον. ἀντὶ τοῦ βλάβην.
καὶ τὸ ποίημα καὶ διήγημα.

Ποινή ἀντέκτισις. ἡ ἀπὸ φόνου
τιμωρία. γίνεται οὖν ἐκ τοῦ φόνος.
φονή. ὡς ὁ ποιητής.
―――― ἐν ἀργαλέῃσι φονῇσι.
καὶ πλεονασμῷ τοῦ ι. καὶ τροπῇ τοῦ
δασέως. εἰς ψιλόν. γίνεται ποινή.
ἐξ οὗ καὶ μετὰ τοῦ στερητικοῦ α.
ἄποινον. ὡς τὸ ἄποινον ὁ θεόπτης.
σημαίνει δὲ τὸ ὑπὲρ τῆς ἀπολυτρώσε-
-ως. τοῦ φόνου προσαγόμενον δῶρον.
καθ' ὃν Μωϋσῆς ᾖσεν ᾠδὴν τῷ θεῷ.
ᾄσωμεν τῷ κῷ ἐνδόξως γὰρ δεδόξασται.
καὶ εἰς τὸ ἄποινον καὶ νηποινεί.

Ποιπνύειν. τὸ μετὰ σπουδῆς ποιεῖν
τι. ἔγκειται οὖν τὸ ποιπνύω ἀπὸ
τοῦ πονῶ. πονύω. καὶ ἐν συγκοπῇ
πνύω. καὶ ποιπνύω.

Ποῖς καὶ ποῖ καὶ πῆ. καὶ πῇ καὶ

πω· καὶ τοῦτο διαφέρει. τὸ μὲν γὰρ
ποῖς καὶ πῇ. τὴν εἰς τόπον σημασί-
αν δηλοῖ. τὸ δὲ ποῖ καὶ πῃ τὴν
ἐν τόπῳ. τὸ δὲ τὴν ἐκ τόπου ὁμοίως
καὶ τοῦτο.

Πολιορκία. ἡ πρὸ τῶν τειχῶν τῆς
πόρθησις. καὶ χαράκωσις. ἐκ τοῦ
πόλις τοῦ σημαίνοντος τὸν ὄχλον.
καὶ τοῦ ἔρκος ὃ σημαίνει τὸ τεῖχος.
πολιερκία. καὶ πολιορκία.

Πολέας. ποιητικῶς πολλάς.

Ποῖος. καὶ πόσος διαφέρει. ὅτι ὁ μὲν
ποῖος ἐπὶ ποιότητα τάσσεται. τὸ δὲ
πόσος. ἐπὶ ποσότητα.

Πολίχνη. καὶ κλίνεται πολίχνης.

Ποιπνύοντα. ἔστι μετοχὴ γένους οὐ-
δετέρου. πληθυντικῶς εὐθείας τῶν
πληθυντικῶν.

Ποιπνύω. ὁ ἐνεστὼς γέγονε ἀπὸ τοῦ
πονῶ πονύω. καὶ ποιπνύω ἐν πλε-
ονασμῷ τοῦ ι.

Πόκος. παρὰ τὸ πέκω. τὸ ξαίνω.
καὶ σημαίνει τὸ ποκάριον. καὶ γὰρ
ὁ πόκος ἐκ τοῦ προβάτου κείρεται.

ἔστι δὲ τὸ κεκομμένον ἔριον.

Πολεῖν· οἰκεῖν· παρὰ τὸ ἀναστρέφεσθαι εἰς αὐτόν· τοὺς πωλοῦντας καὶ ἀγοράζοντας.

Πολεμησείω· πολεμήσω· ἀπὸ τοῦ πολεμῶ· ὁ μέλλων πολεμήσω· καὶ κατὰ παραγωγὴν πολεμησείω· ὡς βρώσω· βρωσείω· καὶ ἡ μετοχὴ πολεμησείων· πολεμησείοντος· τὸ πληθυντικὸν πολεμησείοντες· καὶ ἐξ αὐτοῦ ῥῆμα πολεμησείω· κλίνεται δὲ μέχρι τοῦ παρατατικοῦ· τὰ γὰρ ἀπὸ ἐνεστώτων ἢ μελλόντων παρηγμένα· ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Πολεμικὸν σάκκον· ἀπὸ τοῦ πάλλειν τὸν σάκκον· ἤγουν κινεῖν τὴν ἀσπίδα· λέγεται δὲ σάκος· ἐπειδὴ πρῶτον παρὰ σάκαισιν εὑρέθη· σάκαι δέ εἰσιν οἱ τῆς Θρᾴκης.

Πολεμικὸς καὶ αἰχμητὴς διαφέρει. πολεμικὸν γὰρ σημαίνει τὸν ἔμπειρον τοῦ πολέμου. αἰχμητὴν δὲ τὸν ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις

χρώμενον.

Πόλεμος. παρὰ τὸ πολλοὺς ἀμᾶν. οἱονεὶ κόπτειν. ἢ τὰς πόλεις μειοῦν. τουτέστιν ἐλαττοῦν.

Πόλεμος. οἱονεὶ πολύαιμός τις ὤν. ἢ παρὰ τὸ πολλοὺς κόπτειν. καὶ ἀπολύειν.

Πολέμιον. καὶ ποιητικῶς πολεμήϊον. καὶ πολεμήϊον καὶ πολεμήϊα. ὡς ποίμνιον ποιμνήϊον.

αἵ τε κατὰ σταθμὸν ποιμνήϊον —

Πολέμιος. εἰς τὸ ἐχθρός.

Πολιοφάγος. ὁ πολιὰς τρώγων.

Πόλις. παρὰ τὸ πέλω. τὸ ἀναστρέφομαι. ἢ παρὰ τὸ πελίζω τὸ οἰκῶ. ἢ παρὰ τὸ ἐκ πολλῶν συνίστασθαι.

Πόλις καὶ ἄστυ διαφέρει. πόλις μὲν λέγεται τὸ οἰκοδόμημα. ἄστυ δὲ ἡ κατασκευὴ τῆς πόλεως λέγεται. τὸ πολίτευμα. ἄστυ δὲ τὸ τεῖχος.

Πόλις καὶ ἄστυ διαφέρει. πόλις μὲν ὁ τόπος καὶ οἱ κατοικοῦντες. ἤγουν τὸ συναμφότερον. ἄστυ δὲ μόνον ὁ

τόπος. ὅμηρος.

Φράζοιο νῦν ὅπως καὶ πόλιν καὶ ἄστυ σαώσεις.

Πολιὰ ἡ λευκὴ θρίξ. παρὰ τὸ παλαιοῦσθαι παλαιὰ καὶ πολιά.

Πόλις πατρίδος διαφέρει. καθὸ ἡ μὲν πατρὶς, πόλεις περιέχει. ἡ πόλις δὲ πατρίδα οὐκέτι.

Πολιούχοις. τοῖς τῆς πόλεως ἄρχουσι.

Πολῖται. καὶ πατριῶται διαφέρει. πολῖται μὲν οἱ τῆς αὐτῆς πόλεως μετέχοντες. πατριῶται δὲ οἱ μὴ κατὰ νόμον ἐν τῇ αὐτῇ ὄντες.

Πολιτεύω. εἰς τὸ συλίτης.

Πολ(ίων). τῶν πληθυντικῶν. ἡ πόλις τῆς πόλιος ἰωνικῶς. ποικίλλεται δὲ ἡ γενικὴ τῶν πληθυντικῶν τριχῶς. τῶν πόλεων κοινῶς. καὶ τῶν πόληων διὰ τοῦ η. Ἀττικῶς. τῶν πολίων διὰ τοῦ ι. ἰωνικῶς.

Πολλάκις. ἀπὸ τοῦ πολλός. πολλοῦ. πολλά. καὶ ἐξ αὐτοῦ πολλάκις ἐπίρρημα. ὥσπερ ὀλιγάκις.

Πολλάς. ἐκ τοῦ πολλός. τὸ θηλυκὸν πολλή. τὸ πολλός. καὶ τὸ πολὺς διαφέρει.

ὅτι τὸ μὲν πολύς. δι' ἑνὸς λ. ἐκ τοῦ
πέλω. τὸ δὲ πολλός. διὰ δύο λλ. πρὸς
ἀντιδιαστολήν. ἀμφότερα δὲ γίνεται.
ἐκ τοῦ πέλω. τὸ ἀναστρέφομαι. πο-
λοστός

Πολίτης. καὶ πατριώτης διαφέρει.
πολίτης μὲν γάρ ἐστιν. ὁ ἐκ τῆς αὐτῆς
πόλεως, ἐλεύθερος ἐλευθέρω. πατριώ-
της δέ, ὁ ἐκ τῆς αὐτῆς χώρας δοῦ-
λος δούλω. ἡ γὰρ πατρὶς καὶ ἐπὶ
τῆς χώρας τάσσεται.

Πολιτεία. κατὰ μὲν τὴν παραλή-
γουσαν. διὰ τοῦ ῑ. γράφεται. ὡς
γὰρ ἀπὸ τοῦ μοιχεύω. μοιχεία.
οὕτω καὶ ἀπὸ τοῦ πολιτεύω. πο-
λιτεία. κατὰ δὲ τὴν προπαραλήξ-
ιν. διὰ τοῦ ῑ. ἀπὸ γὰρ τοῦ πο-
λίτης γέγονε.

Πολλοστός. οὐχ ὁ μετὰ πολλῶν ἄλ-
λων. ἀλλ' ὁ μετὰ πολλούς.

Πόλος. ὁ οὐρανός. ἀπὸ τοῦ ἕλω
τοῦ σημαίνοντος τὸ περιέχομαι.
ὅλος. καὶ ἐν πλεονασμῷ τοῦ π.
πόλος.

Πόλος ὁ οὐρανὸς παρὰ τὸ ἀναστρέφεσθαι

τὸν κόσμον περὶ αὐτόν. ἢ ἐκ τοῦ πέλω
τὸ ὑπάρχω.
Πόλος εἰ μὲν σημαίνει τὸν οὐρανόν.
γίνεται παρὰ τὸ πέλω τὸ ἀναστρέ-
φομαι. εἰ δὲ σημαίνει τὸν ὄνον. γί-
νεται παρὰ τὸ πολῶ τὸ πιπράσ-
κω. καὶ εἰς τὸ αἰπόλιον. καὶ αἰπό-
λος. καὶ ἀμφίπολος. καὶ πέλω. ὁ-
μοίως.
Πολυβοτείρῃ. πολλοὺς τρεφούσῃ.
ἡ εὐθεῖα πολυβότειρα. τὸ τει
δίφθογγον. τὰ εἰς ρα βαρύτονα
ἐὰν ἔχωσι τὸ τ. γίνονται ἀπὸ τοῦ
πολυβότειρον. τοῦτο παρὰ τὸ πο-
λὺς καὶ τὸ βοτήρ. τοῦτο παρὰ
τὸν βόσω μέλλοντα. ἐξ οὗ ἐνεστῶς
βῶ. βοτὴρ σημαίνει τὸν βόσκοντα.
ἐξ οὗ καὶ μηλοβοτῆρες. οἱ τὰ πρό-
βατα βόσκοντες.
Πολυΐδος. οὕτω καὶ Ἀπολλώνιος ὁ
τοῦ Ἀρχιβίου. καὶ ἐστὶ φασὶ πολυΐδ-
μων. μάντις ὤν. οὕτω δὲ καὶ τὸ
β. γράμμα ἐπιγράφεται. παρὰ Ἀριστο-
φάνει. μαρτυρεῖ δὲ Φιλόξενος. καὶ
Σοφοκλῆς δ' ἐν μάντεσι διαστέλλ^χ

ῥέω πρόχειρον πολυΐδου τοῦ μάντεως.
καὶ πάλιν.
οὐκ ἔστιν εἰ μὴ πολυΐδου τοῦ κοιράνου.

Πολυπάμμονος. πολυπλουσίου. πάμ:
:ματα γὰρ καλεῖται παρὰ τοῖς
Δωριεῦσι. τὰ κτήματα. καὶ πάσασθαι
τὸ κτήσασθαι. ἐκτεινομένου τοῦ
ᾱ.

Πολύζυγος. ὄνομα εὐθείας. γένους
θηλυκοῦ ἐκ τοῦ πολὺ καὶ τοῦ ζυγός.
τὸ δὲ ζυγὸς σημαίνει τέσσαρα. προ:
:παροξύνεται. κανὼν γάρ ἐστιν ὁ λέ:
:γων. ὅσα τὸ πολὺ ἔχει ἐν τῇ συνθέσει.
κατὰ τὸ ἄρχον μέρος. ὄντος ἐπιφε:
:ρομένου ἢ ῥήματος, ἐν τέλει προ:
:παροξύνεται. οἷον πολύκαρπος.

Πολύμηλος. πολυΐδος πολύβουλος.

Πολύολβος. σεσημείωται τὸ πολυφά:
:γος. ποιηφάγος. ὠμοφάγος. παμ:
:φάγος. σαρκοφάγος. ἔστω καὶ πολυ:
:φάγος.

Πολύμητις. πολύβουλον ἐπιμῆτις.
καὶ ἐν συνθέσει πολύμητις. ἀναβι:
:βάζει τὸν τόνον ἐστὶν ἐν τῷ κλητῖς.
κλίνεται πολυμήτιδος. καὶ τὸ ἰωνικὸν

πολυμήτιος· διατί δὲ αὐτὰ διὰ κα-
:θαροῦ τοῦ ος· οἷον πάρειδος πάρειος.
θέτιδος· θέτιος· ἐξαίδιον ἀεὶν.
Πολὺ ἐπίρρημα ποσότητος δηλωτι-
:κόν.
πολυμήχανος· ἐκ τοῦ μηχανή· τοῦ-
:το ἐκ τοῦ μήδω· τὸ βουλεύομαι·
μήδω· μήσω· μῆχος· μηχανή καὶ μετὰ
τοῦ πολύς· γίνεται πολυμήχανος.
πολύς· ἐν λ· καὶ διὰ τοῦ εος κλί-
:νεται· ὁ πολύς τοῦ πολέος· ὡς
ὀξύς· ὀξέος· ἡ δὲ δοτικὴ τῷ πολεῖ.
ὡς τὸ ὀξεῖ. καὶ ἡ αἰτιατικὴ τὸν
πολύν· ὡς τὸν ὀξύν· καὶ τὸ πληθυν-
:τικὸν οἱ πολεῖς· τῶν πολέων
τοῖς πολέσι· τοὺς πολεῖς. ἡ δὲ πολ-
:λοῦ γενική· οὐκ ἔστιν ἀπὸ τῆς εὐ-
:θείας· πολύς· ἀλλ' ἀπὸ τῆς πολλὸς
πολλοῦ. ὡς ὁ κυλλός· τοῦ κυλλοῦ.
ὥσπερ καὶ ἡ μεγάλου γενική· οὐκ
ἀπὸ τῆς μέγας εὐθείας· ἀλλ' ἀπὸ
τῆς μεγάλος· τοῦ μεγάλου καὶ τὸ
οὐδέτερον τὸ μεγάλον· καὶ τὸ μέγα.
καὶ εἰς τὸ πολλά.

πολύστονος· πολυστένακτος· παρὰ
τὸ πολὺς καὶ τὸ στόνος· ὃ σημαίνει
τὸν στεναγμόν· τοῦτο δὲ παρὰ
τὸ στένω· τὸ στενάζω· τὸ στο μικρόν.
τὰ ἔχοντα τὸ ε.

Πολυωρήθεις· ἐκ τοῦ πολυωρέω.
τοῦτο ἐκ τοῦ πολὺς καὶ τοῦ ὥρα.
ὃ σημαίνει τὴν φροντίδα.

πολυσπορ· τὸ δίκτυον.

Πολυωρήθεις μή· σημαίνει τὸ φυλάξ-
εις μή· ἔστιν ὠρῶ· τὸ φυλάσσω· καὶ
ἐκ τούτου καὶ τοῦ πολὺ ἐπίρρημα
γίνεται πολυωρῶ πολυωρήσω.
ἤγουν ἐπὶ πολὺ φυλάξω.

Πολῶ· τὸ οἰκῶ· ἐξ οὗ καὶ πολίτης.
καὶ εἰς τὸ περιπολούμενος.

Πομάειν· ῥωμαΐα δὲ ἡ λέξις· ποῦ-
μα γὰρ λέγουσι τὴν ὄπωρον.

Πομπή· καὶ πομπεία διαφέρει.
πομπὴ μὲν . . . . . . . θεοῖς
πέμπουσι· πομπεία δὲ ἡ λοιδορία.

Πονέω· τοῦ πονήσω διαφέρει.
τὸ μὲν πονέω· ἐπὶ σώματος· τὸ

δὲ πονήσω. ἐπὶ ψυχῆς.

Πονεύμεναι. παρὰ τὸ πονέω. πονῶ.
πονήσω. ὁ παθητικὸς ἐνεστὼς πονέ-
ομαι. ἡ μετοχὴ πονεόμενος. καὶ
οἱ Δωριεῖς τὸ εο. εἰς τὴν ευ δίφ-
θογγον τρέπουσι. καὶ γίνεται πονεύ-
μενος.

Πόθεν πονηρός. ἐκ τοῦ πονεῖν.
. . . . . . ρός κυρίως
ὁ μώλωπας ἔχων. ὡς ἐκ τοῦ πονεῖν
πονηρὸς δὲ λέγεται ὁ φαῦλος. πόνη-
ρος δὲ ὁ ἐπίπονος καὶ — ὑπομο-
νητικός. ἐξ οὗ πονηρῶ ἔλκει

Πόνηρος. καὶ πονηρὸς διαφέρει. ὁμοί-
ως καὶ μόχθηρος. καὶ μοχθηρός. πο-
νηρὸς μὲν γάρ ἐστιν. ὁ φαῦλος καὶ
κακόηθος. προπαροξύνεται δὲ ὁ
ἐπίπονος.

Πονηρὸς ἀπὸ τοῦ πονεῖν. . . . .
. . . . ἀπὸ δὲ τοῦ σώματος ἡ με-
ταφορά.

Πονηρία. διὰ τὸ τὸν πόνον εἰσάγα-
γειν. . . . . ἀπὸ τῶν τοῦ
κεκτημένων. διὸ καὶ ἡ σοφία λέγει.

ἐάν κακὸς γένῃ. μόνος ἀντλήσεις τὰ
κακά σου.
Πονέσω. εἰς τὸ πονεσόμενος.
πόνος. εἰς τὸ ποινάω.
Πόντος. παρὰ τὸ πο - - - γαι
κάμνω. ἀφ' οὗ πόνος καὶ πόντος.
καθ' ὃν πεπόνηται τὸ τῶν ἀνθρώπων
γένος. - - - - - πλοιω
οὐκ ἐπώνυμος ὁ πόντος. ἢ παρὰ
τὸ πνέω. πνόντος καὶ μεταθέσει
πόντος. ἐξ οὗ καὶ πνοαί. ὅμηρος.

αἶψα δὲ πόντον ἵκανον ἀήμεναι—

Πόντος. ἡ θάλασσα. ἀπὸ τοῦ πνέω.
ἐν ᾗ αἱ πνοαί. καὶ οἱ ἄνεμοι φέρον-
ται. ἐκ τούτου καὶ πόντιον θηρί-
ον τὸ θαλάσσιον.
Πόππυσμα πεποιημένη λέξις ἐστί.
σημαίνει τὸν ἠθικὸν λόγον. ὥστε ὅταν
ἐστὶν ἵππος ἄγριος. καὶ θέλομεν αὐ-
τὸν ἡμερῶσαι. τοῦτον τὸν λόγον
λέγομεν.
Πόπανον. παρὰ τὸ πέσσω. πέπα-
νον.
Πόρδαλις ὁ ἄρσην. πάρδαλις ἡ θή-
λεια. ὁ μὲν ἀπὸ τοῦ ἄλλεσθαι. ἡ δὲ

ἀπὸ τοῦ παράλλεσθαι.

Πόρδαλις τὸ ζῶον. διὰ μὲν τοῦ ο̄· ὁ ἄρσην. διὰ δὲ τοῦ ᾱ· ἡ θήλεια.

πορδή. παρὰ τὸ πέρα τοῦ δέοντος εἶναι. ἢ παρὰ τὸ πόρρω ἔρχεσθαι. ἢ διὰ τὸ σπέρχειν ἤγουν πηδᾶν.

Πόρε τὸ ῥῆμα. πόρω. τὸ παρέχω καὶ δίδωμι. ὁ μέλλων πορῶ. πορήσω. ὁ δεύτερος ἀόριστος ἔπορες. ἔπορε. πόρε. οἱ ἴωνες συναρχομένους ποιοῦσι.

Πολῶ. τὸ οἰκῶ. καὶ ἀναστρέφομαι. ἐξ οὗ καὶ πολίτης ὁ κάτοικος. διὰ τοῦ βραχέος. πωλῶ δὲ τὸ πιπράσκω. ἐξ οὗ καὶ πολίτης ὁ πράτης. διὰ μακροῦ.

Πόμα. καὶ πῶμα διχῶς λέγεται. τὸ ἁπλοῦν διὰ τὸ ο μικροῦ. ἐν δὲ συνθέσει διὰ τοῦ ω μεγάλου. οἷον γαλακτοπώτης. οἰνοπώτης. ὑδροπώτης. καὶ τὰ ὅμοια.

ποιεῖν τοῦ πράττειν καὶ θεωρεῖν διαφέρει. ποιεῖν λέγεται ἐπὶ τῶν

ποιητικῶν τεχνῶν τεκτονικῆς καὶ
τῶν τοιούτων· πρᾶττειν δὲ ἐφ' ὧν
οὐ διαμένει τὸ τέλος· ἤγουν τὸ ἀπο-
-τέλεσμα· ὡς ἐπὶ τῆς αὐλητικῆς
καὶ ὀρχηστικῆς· θεωρεῖν δὲ ἐπὶ τοῦ
ἀστρονομεῖν· γεωμετρεῖν· νοεῖν
καὶ τῶν τοιούτων·

Πορθμὸς στενὴ θάλασσα· ὑπὸ γῆς
περιεχομένη· ἰσθμὸς δὲ στενὴ γῆ ὑπὸ
θαλάσσης περιεχομένη·

Πόρνη παρὰ τὸ πέρνω· ἐκ τῆς
εὐνῆς ποιεῖσθαι· ἢ παρὰ τὸ πεπο-
-ρωμένον τὸν νοῦν ὑπάρχειν.

Πόσθη τὸ αἰδοῖον·

Πορνεία· ἀπὸ τοῦ πορνεύεσθαι·
αὐτὸ δὲ τὸ πορνεύεσθαι· ἀπὸ τοῦ εἰς
πέρας ἔρχεσθαι· ἢ παρὰ τὸ πόρρω.
νεύειν.

Πορθμεῖον· καὶ πορθμίον διαφέρει.
πορθμεῖον λέγεται· τὸ πλοῖον.
πορθμίον δὲ τὸ ναῦλον τὸ μι· ι
διατί· τὰ διὰ τοῦ ιον δακτυλικὰ
τρισύλλαβα διὰ τοῦ ι· γράφεται·
οἷον σκαμνίον· βιβλίον· θηρίον —

πορθμίον.

πορθμός· εἰς τὸ ἄσθματα· καὶ ἰσθμός.

Πορίζω· παρέχω· ἐκ τοῦ πόρος· πο-
ρίζω· τοῦτο δὲ παρὰ τὸ περῶ·
διαφέρει πόρος καὶ πορός· πόρος μὲν
λέγεται ὁ ἀδιάβατος τόπος· πο-
ρὸς δὲ ὁ περάτης. ἐξ αὐτοῦ εὕρα
πορίζω. διὰ τοῦ ι.

Πόρκης· ὁ δάκτυλος ὁ συνέχων τὴν
ἐπιδορατίδα πρὸς τὸ ξύλον.

πόρνη· παρὰ τὸ πέρνη τις εἶναι·
ὡς πωλοῦσα· ἢ τὴν μίξιν αὐτῆς
πωλοῦσα τοῖς πᾶσι· καὶ ὅμηρος.

νήσου ἔπι τηλεδαπάων πέρνας.

ἀντὶ τοῦ πιπράσκων. καὶ ἱππῶναξ
φησί· καὶ τοὺς σολοίκους ἢν λάβωσι
περνᾶσιν. ἀντὶ τοῦ πιπράσκουσι.
πέρνη οὖν καὶ πόρνη.

Πόρνη· παρὰ τὸ περνᾶν· ἤγουν
πιπράσκειν· ἢ τὴν μίξιν ἑαυτῆς
πωλοῦσα τοῖς πᾶσι.

Πορνεία· πώρωσις· ἤγουν τύφλωσις
νόος· ἢ διὰ τὸ πηροῦν τὸν νοῦν.

ἤγουν ἐκτυφλοῦν. ἢ διὰ τὸ πορσύνω-
-ειν. ἢ διὰ τὸ πόρρωθεν νεύειν.
Πόρνος. διὰ τὸ πονηρὸν ἔργον ποιεῖν.
ἢ παρὰ τὸ πόρος. καὶ τὸν νοῦν.
πόρονος. καὶ πόρνος. κατὰ συγκοπήν.
ὁ ἔχων πώρωσιν τοῦ νοῦ. ἢ παρὰ
τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.
τουτέστιν ἐσκοτισμένον. τὸ δὲ
πόρνη. παρὰ τὸ περνᾶν τὸ πι-
-πράσκειν. ἢ τὴν μῖξιν πωλοῦσα.
Πόρνος. παρὰ τὸ πόρρω νοὸς εἶναι.
ἢ παρὰ τὸ πεπωρωμένον ἔχειν
τὸν νοῦν. ἤγουν ἐσκοτισμένον. τὸ
δὲ πόρνη παρὰ τὸ πόρρω – –
– ποιεῖσθαι.

Πόρπη. φίβλα. περόνη. παρὰ
τὸ πείρω. τὸ διεκβάλλω. πόρπη..
πόρρω. ἔξω μακράν. ἀπὸ τῆς πρὸς
προθέσεως. πρόσω. καὶ ἐν ὑπερβι-
-βασμῷ πόρσω. τὸ ἀκολουθῶ. καὶ
τροπῇ τοῦ σ. εἰς ρ. πόρρω.
Πορσανέουσα. μετοχή. τὸ θέμα
πορσαίνω. ἡ μετοχὴ πορσανῶ.

πορσανσσα· καὶ ἰωνικῇ διαλέκτῳ.
πορσανέουσα. ὡς τὸ πλυνέουσα. τὸ
πορσαίνω ἐκ τοῦ ὄρω. τὸ διεγείρω.
ὁ μέλλων ὀρῶ. αἰολικῶς ὄρσω.
καὶ κατὰ παραγωγὴν ὀρσαίνω.
καὶ πλεονασμῷ τοῦ π. πορσαίνω.
ἢ ἐκ τοῦ πόρω τὸ παρέχω. ὁ μέλ-
λων πορῶ. καὶ Αἰολικῶς πόρσω. καὶ
ἐξ αὐτοῦ πορσαίνω. οἱονεὶ ἑτοιμά-
ζουσα δωρουμένη.

Πόρρω. παρὰ τὴν πρὸς πρόσθεσιν.
πρόσω. καὶ μεταθέσει πόρσω. καὶ
κατὰ Ἀττικὴν τροπὴν τοῦ σ. εἰς ρ.
πόρρω. ὡς μυρσίνη. μυρρίνη.

Πορσύνω. παρασκευάζω. εὐτρεπίζω.
ἑτοιμάζω. ἢ διεγείρω. ἢ παρέχω.

Πόρτα. διὰ τὸ τὸν πόρον τηρεῖν.

Πόρτις πόρτιος. ἡ δάμαλις. παρὰ
τὸ ἄρτι εἰς πορείαν καὶ νομὴν ἰέναι.

Πόρτακι μόσχων ἐούγνω βο - - -
. εἰ πόροιο. παρὰ τὸ νέω. τὸ πορεύ-
εσθαι καὶ βαίνειν.

Πόρω. εἰς τὸ πόρε. καὶ πορσανέουσα.

ποσειδάων. ὁ ποσειδῶν κλίνεται
ποσειδάονος. ὡς παρώνυμον φυλάτ-
-τει τὸ ω. ὡς περισπώμενον μὴ
συνεξακολουθῆσαν τοῖς περισπωμέ-
-νοις. ὡς παρώνυμον. σεσημείωται
γὰρ τὸ ποσειδάων καὶ περισπᾶ-
-ται. διατί ἐσημειώθη. ἐροῦμεν ὅτι
τὰ εἰς ων περισπώμενα. οὐδέποτε
εἰσὶ παρώνυμα. ἐπειδὴ δὲ εὑρέθη
τοῦτο παρώνυμον. τούτου χάριν
σεσημείωται. ἔστι γὰρ τὸ ὄνομα
ποσειδεύς. καὶ ἐξ αὐτοῦ ποσειδέων.
καὶ τροπῇ ἰωνικῇ τοῦ ε εἰς α. ὡς
ἐπὶ ἄλλων πολλῶν γίνεται. ποσειδά-
-ων καὶ κλίνεται ποσειδάωνος. καὶ
ὡς παρώνυμος φυλάσσει τὸ ω. ὡς
θεῶν καὶ ἱερῶν. ἐτυμολογεῖται δὲ
ποσειδῶν. παρὰ τὸ τῇ πόσει ἐνδεῖν.
οὐδεὶς γὰρ γεύεται θαλαττίου ὕδατος.
ἢ παρὰ τὸ τοὺς πόδας δεῖν. ἐκεῖ-
-σε γὰρ ἀφικόμενοι. βαδίζειν οὐ
δυνάμεθα. ἢ παρὰ τὸ πέδον σείειν.
ὁ αὐτὸς γάρ ἐστι καὶ ἐνοσίχθων. ἢ
παρὰ τὸ πόσιν διδόναι. τουτέστι

τῷ. ἡλίῳ ἀναπέμπειν. φασὶ γὰρ τὸν ἥλιον ἐκ τῆς θαλάσσης ἀνιμᾶσθαι τὴν ὑγρότητα.

Ποσειδῶν. ἰστέον ὅτι τὸ ποσειδῶν παρ' ἡμῖν. παρὰ δὲ τοῖς ἴωσι διὰ τοῦ ι μακροῦ. καὶ παρὰ τοῖς αἰολεῦσι καὶ δωριεῦσιν ἐστὶ διὰ τοῦ ι. γραφόμενον. ἀλλ' οἱ μὲν αἰολεῖς βαρυτονοῦσι. τρέποντες τὸ δ. εἰς τ. καὶ τὴν τελευταίαν εἰς αν. οἷον ποτιᾶν. καὶ ἡ διὰ τῆς ει. διφθόγγου γραφή. καὶ ἡ διὰ τοῦ ι. ἔχει λόγον. εἰ μὲν διὰ τῆς ει διφθόγγου γράφεται ὁ ποσειδῶν. παρὰ τὸ πέδον σείειν. ἀπὸ τοῦ ποδοσείαν γέγονε. ποδοσείων καὶ ἐν ὑπερβιβασμῷ ποσειδίων. καὶ ποσειδῶν. ἡ δὲ διὰ τοῦ ι γραφὴ ἔχει λόγον. ὁ ποσιδῶν λέγεται παρὰ τὸ τοὺς πόδας δεῖν. ἤγουν δεσμεῖν ἐν θαλάσσῃ γὰρ ἀφικόμενοι. βαδίζειν οὐ δυνάμεθα.

Ποσειδῶν ἡ θάλασσα. παρὰ τὸ τὴν πόσιν ἀναπέμπειν τῷ σαρεῖ. τουτέστι τῷ ἡλίῳ. ἡ ἀπὸ τοῦ πεδοσείειν

γέγονε ποσειδείων. καὶ ἐν ὑπερβιβασμῷ ποσειδέων καὶ ποσειδῶν.

Πόσις. ὁ ἀνήρ. παρὰ τὴν πόσιν τοῦ ὕδατος. ἐπειδὴ τὸ ὕδωρ καὶ αὐτὸ μιγνύμενον τῇ γῇ. γεννητικὸν γίνεται.

Πόσις. δύο σημαίνει τότε πόμα. καὶ τὸν ἄνδρα. λέγεται δὲ ἀπὸ μεταφορᾶς τοῦ ὕδατος. ὁ ἀνήρ. πόσις πόσιος.

Ποσὸς εἰς τὸ τόσσα.

Ποσιμόρειον. τῶν δύο δακτύλων τῆς χειρὸς τὸ μέτρον.

Ποσημόρειον. τὸ βραχύτατον μέρος θηλυκόν.

Πόσθη τὸ αἰδοῖον. ἢ παρὰ τὸ προκεῖσθαι καὶ προτεθεῖσθαι δοκεῖ.

Ποταμὸς παρὰ τὸ πότιμον ὕδωρ ἔχειν. ἢ παρὰ τὸ ποτάζω. ποτάσσω. ποταμός. οὕτως Ἡρωδιανός.

Ποταμὸς ὁ ἔχων πότον καὶ ἄμμον. ἢ διὰ τὸ ποτάριον. ἢ ὁ ἔχων πότιμον ἐνέργειαν.

Πότε μὲν ἐπὶ χρόνου. πότε δὲ ἐπὶ ὥρ:

ποτήρω· ἐκ τοῦ πορέω τήρω· κατὰ
συγκοπὴν ποτήρω·

Ποτήριον· διότι τὸ πόμα τηρεῖ.

Ποτήριον· παρὰ τὸ πόσιν τηρεῖν·
σημαίνει τέσσαρα· τὴν τιμωρίαν· ὡς
τὸ ποτήριον ἐν χειρὶ κῡ· καὶ ὡς τὸ
ποτήριον σωτηρίου λήψομαι· καὶ τὸν θά-
νατον· ὡς τὸ π̄ερ· εἰ δυνατὸν ἀπελ-
θέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ·
καὶ τὸ ἀγγεῖον ἐν ᾧ πίνομεν· ὅμηρος

Ποτιδέγμεναι μετοχή· τὸ π̄ι ῑ· δι-
ατί· ἔστι γὰρ π̄ρ̄ο̄ς̄ καὶ Δωρικῶς
τρέπεται τὸ σ̄· εἰς τ̄· καὶ ἐπειδὴ
οὐδέποτε λέξις ἑλληνικὴ εἰς ψιλὸν
σύμφωνον τὸ τ̄ καταλήγει· προσλαμ-
βάνουσι τὸ ῑ· ἀποβολῇ τοῦ ρ̄· γίνε-
ται ποτί· καὶ ἔστι δεδέγμεναι· συν-
τιθέμεναι γὰρ αἱ προθέσεις· τὸν
τόνον ἀναπέμπουσιν· ἄλλως ἔστι προ-
ἐξ αὐτοῦ καὶ ἐπέκτασιν τῆς σ̄ῑ συλ-
λαβῆς· π̄ρ̄ο̄σ̄ί̄· ἀναλόγως· ἢ παρα-
λόγως· ἀναλόγως· ἐπειδὴ παρέπεται
ταῖς προθέσεσι· τὸ μέχρι τῆς δι-
συλλαβίας αὔξεσθαι καὶ τροπῇ

Δωρικῶ τὸ σ̄. εἰς τ̄. ὥσπερ σός. τός.
οὕτω καὶ προτί. ποτί. ζήτει αὐτά
εἰς τοὺς ἐπιμερισμούς.

Ποτίζω. παρὰ τὸ πῶ. πῶμαι.
ὁ παρακείμενος πέπωκα. ὁ παθητι-
κὸς πέπομαι. καὶ γίνεται ῥῆμα
παράγωγον ποτίζω.

Πότμος. παρὰ τὸ πέτω. ποτῶ.
γίνεται πότος. καὶ πλεονασμῷ τοῦ
μ̄ πότμος. πότμος σημαίνει τρία.
τὸν θάνατον. καὶ τὴν ἐσχάτην σύμ-
πτωσιν τοῦ βίου. ἀπὸ τοῦ πεσεῖν.
καὶ ἐπὶ τῆς ψυχῆς. τὸ μεταπίπ-
τειν. ἢ ὑπὸ τὴν γένεσιν τοῦ βρέ-
φους. ἐπιμερειζομένη τῇ τύχῃ.
γίνεται δὲ παρὰ τὸ πτῶ. ὅπερ
ἐστὶ κατὰ συγκοπὴν τοῦ πίπτω.

Πότμος. ὁ ποιῶν πεσεῖν εἰς τὴν
γῆν. ἐπὶ δὲ τῆς ψυχῆς. παρὰ
τὴν μετάπτωσιν καὶ μεταβολήν.

Πότμος. παρὰ τὸ πεσεῖν.

Ποτνιᾶσθαι. κυριώτερον ἄν τις φήσειεν.

ἐπὶ γυναικῶν· ὅταν γυνὴ κακόν τι
πάσχει καὶ θέλει ἱκετεύειν. θν̄· ὦ
πότνια λέγουσα· ποτνιᾶσθαι δὲ
ὅταν εἴπῃ τις ἄνδρα ἁμαρτάνει.

Ποτνιᾶσθαι· τὸ ἐλεεινολογεῖσθαι
καὶ μετὰ δακρύων τι λέγειν, καὶ
ὀδυρμῶν· πότνια δὲ ἡ σεμνή· ἄλλο
γὰρ σημαίνει τὸ ῥῆμα· καὶ ἄλλο τὸ
ὄνομα.

Ποτνιῶ· σημαίνει τὸ δυσφορῶ
καὶ μετὰ λύπης ἱκετεύω τὸν θεόν.
παρὰ τὸ ποτῶ ἐξ οὗ καὶ

μητέρ ἀμφιποτᾶτο.

καὶ κατὰ παραγωγὴν ποτιῶ· καὶ
πλεονασμῷ τοῦ ν ποτνιῶ.

Ποτνιᾶται· ἀντὶ τοῦ παρακαλεῖ.

Πότος· τὸ συμπόσιον· παρὰ τὸ
πῶ τὸ πίνω· διαφέρει δὲ πότος
καὶ ποτός· πότος βαρυτόνως λέγε-
ται· ὁ ἄριστος· καὶ ἐποίησεν Ἰακὼβ
πότον μέγαν τοῖς υἱοῖς αὐτοῦ· πο-
τὸν δὲ ὀξυτόνως τὸ πινόμενον πόμα.

Ποτῶ. εἰς τὸ πωλῶ.

Πȣ. εἰς τὸ πῦ. καὶ ποῖς.

Ποῦ. καὶ ποῖ παρὰ τοῖς Δωριεῦσι.

τὴν εἰς τόπον σημασίαν δηλοῖ. πῦ

δὲ τὴν ἐπὶ τόπῳ. πῆς πῶ δὲ. τὴν

ἐκ τόπου.

Πούς. παρὰ τὸ πόρος. ὁ διαπερώ=

=μενος τόπος. τὰ εἰς ος ὀνόματα δι=

=σύλλαβα ῥηματικά. ἡνίκα μὲν πα=

=θητικόν ἐστι τὸ σημαινόμενον βαρύ=

=νεται. ἡνίκα δὲ ἐνεργητικόν ὀξύνε=

=ται. ἐκ τοῦ πόρος γίνεται κατὰ

συγκοπὴν πρός. ἐκβολῇ τοῦ ρ γί=

=νεται πός καὶ ἐπειδὴ οὐδέποτε

ὄνομα μονοσύλλαβον βραχυκατάληκ=

=τον. πλὴν τοῦ τίς πλεονάζει τὸ

υ. καὶ γίνεται πούς. λοιπὸν ἐκ

τοῦ περῶ. πορός ὀξύνεται. τὰ

ἐνεργοῦντα ἐν τῇ συνθέσει. ἀνα=

=βιβάζει τὸν τόνον ὠκύπους.

τὸ π. μετὰ τοῦ ρ.

Πραιτώριον. ὅπου τὰ πραττόμενα

φρουροῦνται· ὅ ἐστι φυλάσσονται· πλε-
-ονασμῷ τοῦ ῑ.

Πραῖδα· ἐκ τῆς παρὰ προθέσεως. καὶ τοῦ αἴθω· τὸ καίω.

Πρανὴς κατάντης· κατωφερής· καὶ πρανίζει τὸ καταφέρει· πρανὲς δὲ οἱονεὶ τὸ προνενευκός· καὶ εἰς τὸ πρηνύς.

Πρασιαί· παρὰ τὸ πεπεράσθαι· πρασιαί τινες οὖσαι· ὡς τετράγωνοι.

Πράσις· παρὰ τὸ πέρασις εἶναι· μεταβαίνει γὰρ ἐξ ἑτέρου εἰς ἕτερον.

Πράσον· παρὰ τὸ πρίσσειν· ἢ παρὰ τὸ σαίνειν· αὐτὸ ἐν τῷ σπείρειν καὶ φυτεύειν· ἢ πυρέσσειν ποιεῖ.

Πραεῖς· εὐθεῖα τῶν πληθυντικῶν ἡ εὐθεῖα τῶν ἑνικῶν πραΰς· πόθεν γίνεται παρὰ τὸ ῥᾶον ὃ σημαίνει τὸ εὔκολον· καὶ ἀγαθόν· ῥαΰς· καὶ πραΰς.

Πραΰς ἀπὸ τοῦ ῥᾶον· ὃ σημαίνει τὸν εὔκολον· γίνεται ῥαΰς καὶ πραΰς. πλεονασμῷ τοῦ ρ̄· πραΰς· ὁ εὔκολος καὶ ἀγαθός.

Πραΰς· παρὰ τὸ ῥᾷον· ὃ σημαίνει τὸ εὔκολον· ἔχει δὲ τὸ ϊ. τὰ εἰς ων καθαρὸν· δισύλλαβα διφθόγγῳ παραληγόμενα· τέσσαρά εἰσι· καὶ τὰ μὲν δύο ἐκφωνοῦνται· τὸ πλεῖον. μεῖον· τὰ δὲ δύο οὐχί· οἷον ῥᾷον πρᾶον·

Πρέμνον· τὸ ἀπὸ γηρασκόντων στελεχῶν.

Πρέπελος· εἰς τὸ θεοείκελος.

Πρεσβεύεσθαι· καὶ πρεσβεύειν. διαφέρει· πρεσβεύεσθαι μὲν τὸ πέμπειν πρέσβεις· πρεσβεύειν δὲ τὸ πέμπεσθαι πρεσβευτής.

Πρέσβυς· παρὰ τὸ περισσῶς βεβιωκέναι· καὶ εἰς τὸ γέρων.

Πρέσβυς ὁ γέρων· παρὰ τὸ προβεβηκέναι τὴν ἥβην· διὰ τοῦ ῡ ψιλοῦ· καὶ πρέσβυς ὁ παρακλήτωρ· ὁ πεμπόμενος πρὸς βασιλέα· ἀπὸ τοῦ πρεσβεύειν καὶ μεσιτεύειν.

Πρεσβευτὴς δὲ ὁ ἱκετεύων καὶ παρακαλῶν ἱκέτης.

πρέσβειρα· διὰ τῆς ει διφθόγγου.
σημαίνει δὲ τὴν γεγηρακυῖαν· τῷ
λόγῳ τῶν διὰ τοῦ εια.
Πρέσβεις· ἑνικόν· πληθυντικὸν δὲ
διὰ διφθόγγου.
Πρέσβυς· παρὰ τὸ προβεβηκέναι.
τὴν ἥβην· καὶ πρεσβεύς· παρὰ
τὸ πρεσβεύω· πρεσβεύς· ὡς ἱπ-
-πεύω· ἱππεύς· καὶ ὡς βασιλεὺς
καὶ πρεσβείαις ἐστί· παρὰ δὲ τὸ
πρεσβεύω· πρεσβευτής· τὸ δὲ πρέσ-
-βυς ἀπὸ τοῦ πρέσβευσις.
Πρῆγμα· εἰς τὸ κρητήρ.
Πρηγορεῶνος· ἐκ τοῦ προάγω· ὁ
λαιμός.
Πρήθω· τὸ καίω· ἐξ οὗ καὶ ἐμπρησ-
-μός.
Πρήθω· τὸ φοβῶ· καὶ πληρῶ· ἐξ
οὗ καὶ ἔπλησα ἀσκόν· πρήθω τὸ
χίζω· ἐξ οὗ καὶ πρίων.
Πρήθω σημαίνει τὸ φοβῶ ἐστὶ καὶ
ἕτερον τὸ ἐμπρήθω· πιπρῶ· πρή-
-θω· ὁ πρῶτος ἀόριστος ἔπρησα.

καὶ τὸ δεύτερον ἔπρησας· ἔτι καὶ
πρῶ τὸ πιπράσκω· λέγεται περῶ
περάσω· πεπέρακα· καὶ συγκοπῇ
πέπρακα. τὸ πρῆ· η· διὰ τί· τὰ
διὰ τοῦ ηθω ῥήματα μὴ ἐν κινήσε-
σιν εὑρισκόμενα γεννῶντα τὸ ο̅·
διὰ τοῦ η̅· γράφεται· ἐπὶ βαρυ-
τόνου καὶ περισπωμένου· ἢ ὅτι
ἀπὸ τῶν εἰς ω̅ ληγόντων ῥημάτων.
διὰ τοῦ ηθω κατὰ παραγωγὴν
γινόμενα διὰ τοῦ η̅· γράφεται.
οἷον νῶ· νήθω· γῶ· γήθω· κνῶ· κνή-
θω· οὕτως οὖν πρῶ· τὸ περῶ· πρή-
θω· ὁ παθητικὸς παρακείμενος
ἐμπέπρησμαι· καὶ ἐξ αὐτοῦ ἐμ-
πρησμός.

Πρῆξαι· πρᾶξαι· ἐκ τοῦ πράσσω.
ἐξ οὗ ἔπρηξε:·

Πρηνές· ἐπίρρημα τοπικόν· ἀπὸ
ὀνόματος μετήχθη· εἰς ἐπιρρημα-
τικὴν σύνταξιν· ἔστι γὰρ πρηνὴς
τὸ πρη· η· διότι ἀντεφάνη τὸ
α̅· ἐν τῷ πρανές· ὃ σημαίνει τὸ

κατωφερές. λοιπόν ἐστι πρηνής.
καὶ τὸ οὐδέτερον πρηνές. καὶ ἐξ
αὐτοῦ ἐπίρρημα πρηνῶς. εἴρηται
παρὰ τὸ προνενευκέναι. ἢ ἀπὸ
τοῦ πρόσω νενευκέναι.

Πρηνής. παρὰ τὸ προνενευκέναι.
τουτέστι πεσεῖν ἐπὶ πρόσωπον. ὅ-
μηρος.

Πρήθω. ἀνάπτω. ἢ καύθω. ἐνεστῶτος.
τοῦτο μέλλοντα οὐκ ἔχει. τὰ γὰρ
ἀπὸ μελλόντων ποιητικῶς μεταγό-
μενα. εἰς ἐνεστῶτα ἀρχεῖ τοῦ πα-
ρατατικοῦ κλίνονται. ἔστι γὰρ
πρέω. ὁ μέλλων πρέσω. καὶ
συγκοπῇ πράσω. καὶ τροπῇ τοῦ
ᾱ εἰς η̄. καὶ πλεονασμῷ ἑτέρου
σ̄. πρήθω. καὶ μετάγεται ὁ μέλ-
λων ἐνεστῶτα. καὶ γίνεται πρή-
θω. ὁ παρατατικὸς ἔπρηθον.
ἐξ οὗ καὶ τὸ

——— διέπρηθον πεδίοιο.

Πρίαμος. ὄνομα κύριον. ἐκ τοῦ

πείημι· τὸ πωλῶ· πείαμαι· πεί-
-αμος· ἐπεάθη γὰρ καὶ διὰ τοῦτο
καὶ ταύτης ἐπωνυμίας ἔτυχεν.
ὦ σι ἰσαεκῆ λυκόφεων.

αἰνοτός, ἀεθαλωτός πάτερ πολλ.   β.
τὸ παθητικὸν πείαμαι· καὶ πεία-
-μος ἴκεαθαι· ἐστὶ μέθος ἀόρισος δεύ-
-τερος παθητικοῦ.

- - - παροξύνεται· τὰ διὰ τοῦ
αμος ὀνόματα. εἰ μὲν ὦσι κύρια.
βαρύνονται· οἷον πείαμος· βίβαμος.
εἰ δὲ μὴ οὕτως ἔχει. ὀξύνεται. οἷον
φωειμός· χηραμός.

Πεῖνος· εἶδος δένδρου. διὰ τοῦ ῑ.
γράφεται· τῷ λόγῳ τοῦ ἀκραγαν-
-τῖνος· ἰστέον δὲ ὅτι εὕρηται καὶ
ὁ πεῖνος ἀρσενικόν· καὶ ἡ πρῖνος
θηλυκόν.

Πειβᾶτα· τὰ τῇ βασιλείᾳ ἰδιαζόν-
-τως διαφέροντα· ἄλλα δὲ ἐστὶ τὰ
δημόσια. ὅσα τελεῖ ὑπὸ τὸν κό-
-μητα τῶν γαργιτιον. ταῖς δη-
-μοσίαις ὑπουργοῦντα χρείαις. —

λαργιτιῶνες δὲ εἰσὶ δύο· τὰ σάκρα καὶ τὰ πριβάτα· δύο γὰρ εἰσὶ βασιλικοὶ θησαυροί· οἱ ἰδιάζοντες τῆς βασιλείας· οἷον ὁ τῶν λαργιτιόνων καὶ ὁ δημόσιος ὁ τοῦ φίσκου.

Πρίεται· παρὰ τὸ πρίζω.

Πρίζεται· εἰς τὸ ἄπριξ.

Πρίαμαι εἰς τὸ ἀπριάτην.

Πρὶν χρόνου δηλωτικόν· γίνεται δὲ ἐκ τοῦ παρόντ(ος)· πρεῖνον· καὶ συγκοπῇ πρίν· τὸ πάρος· ἐκ τοῦ πρός· μικρὸν τί πρὸς ἀντὶ τοῦ ἔμπροσθεν.

Πριων· παρὰ τὸ πρίζω· ἰστέον ὅτι τὸ πρίων· ἀρσενικῶς λέγεται καὶ παροξυτόνως· καὶ διὰ τοῦ ι· γράφεται τῷ λόγῳ τοῦ ἀμφίων.

Προπέτεια· ἡ ἀχαλίνωτος γλῶσσα.

Προαίρεσις· ἐκ τοῦ αἱρῶ τὸ προαιροῦμαι· ἐξ οὗ καὶ προαίρεσις.

Προαιρετόν· τὸ ἕτερον πρὸ ἑτέρου αἱρετόν.

πρόβατα· πάντα τὰ τετράποδα
ἐκάλουν οἱ παλαιοὶ πρόβατα. διὰ
τὸ πρὸ τῶν ὀπισθίων βαίνειν ἐτέ-
-ρας ἐμπροσθίους ἔχειν, καθὰ καὶ ἡσί-
-οδος φησί. β.

Χαλεπὸς προβάτοις χαλεπὸς ἀνθρώποις

πρόβατα· λέγονται τὰ τετράποδα
πάντα· διὰ τὸ προβαίνειν κοινῶς.
πρόβατον· διὰ τὸ πρὸ πάντων βα-
-δίζεσθαι αὐτό.
πρόβατον πρότι πάντας ἐστὶν ἀρσε-
-τόν· καὶ βοτὸν ἤγουν· ἐπιθυμητι-
-κόν.
πρόβατα διότι προτιθεῖ τῷ
καιρῷ· πρὸ τῶν τετραπόδων.
πρόβατον· παρὰ τὸ προβαίνειν
τῇ βοσκῇ· ἢ παρὰ τὸ πρὸ τῆς
ὀπισθίου βάσεως, ἑτέραν βάσιν
ἔχειν· ἢ παρὰ τὸ πράως βαίνειν
ἐν τῇ ὁδῷ· ἢ παρὰ τὸ πράως
βαίνειν τὸν ἔμπροσθεν πόδα
τοῦ ὀπισθίου· πᾶν γὰρ τετράπο-
-δον πρόβατον καλεῖται.
προβεβηκώς· εἰς τὸ γέρων.

Πόθεν πρόβατον. ἐκ τῆς προ προ-
:θέσεως καί τοῦ βαίνω. γίνεται πρό-
:βατον.

Πρόβλημα. παρά τό βλῆμι. ἤ πα-
:ρά τό βλῶ. βλήσω. βλῆμα καί
πρόβλημα. τί διαφέρει πρόβλημα
προτάσεως. πρόβλημα λέγεται ἡ
ἐπαπορηθεῖν ἀμφισβητουμένη ζή-
:τησις. πρότασις δέ ἡ ἐρώτησις.
τί διαφέρει παραβολή καί παρά-
:δειγμα. ὅτι ἡ μέν παραβολή. ἀ-
:πό ἀψύχων λαμβάνεται. τό δέ
παράδειγμα ἀπό ἐμψύχων. ἤ γεγο-
:νότων πραγμάτων.

πρόβλημα. εἰς τό ζήτημα.

πρόβλημα. ὑπόκρισις.

Προβλῆτι ὄνομα ἀρσενικόν. πτώ-
:σεως δοτικῆς. ἡ εὐθεῖα ἐστί. προ-
:βλής. ἡ γενική προβλῆτος. ἡ δο-
:τική. προβλῆτι. ὁ κανών. τά
εἰς σ λήγοντα ὀξύτονα σύνθετα.
ἀπό τοῦ παθητικοῦ παρακειμένου
διά καθαροῦ τοῦ τος κλινόμενα

εἴτε εἰς ας ὦσιν· εἴτε εἰς ης· εἴτε
εἰς ως· οἷον κρέα κέκλιται· χαλκοκρέας
χαλκόκρεατος. ὁ χαλκῷ κεκρεάμενος.
νεοκρέας· νεόκρεατος. ὁ νεωστὶ κεκρεα-
σμένος· βέβλυται· ἀβλαβής ἄβλυτος
τέτρωται· ἄτρως ἄτρωτος. ὁ μὴ
τρωθείς. πέπλωται· ἄπλως· ἄπλωτος.
ὁ μὴ πλέων. ἔγνωται· ἄγνως· ἄγνωτος.
ὁ ἀμαθής. τέθνηται· ἡμιθνής· ἡμιθνή-
τος. ὁ ἡμιθανής· ταῦτα φημὶ δὲ
τὸ πέπλωκα καὶ τέθνηκα· τῇ μὲν
φωνῇ· ἐνεργητικά εἰσι· τῷ δὲ σημαι-
νομένῳ παθητικά.

Προβεβλημένῳ ἐξέχοντι.

Προβλῆτας τοὺς θεμελίους οἴκους.
παρὰ τὸ προβεβλῆσθαι.

Προβούλομαι· τιμῶ· προβάλομαι· ἐ-
ρωτῶ.

Πρόδηλον τὸ πάνυ φανερόν.

Προβαλίβιος. διὰ τοῦ ι· ὥσπερ ἀπὸ
τοῦ τρικόρυθος γίνεται τρικορύθιος.
οὕτω ἀπὸ τοῦ προβάλιδος· προβα-
λίβιος.

προάστειον· τὸ ἔξω αὐτοῦ ἄστεος.

Προβόλαιον· τὸ κυνηγητικὸν δόρυ.

Πρόες· πρόπεμψον· ἀόριστος δεύτερος προστακτικόν· ἀπὸ τοῦ ἵημι· ὁ δεύτερος ἀόριστος ἧν· καὶ τὸ προστακτικὸν ἀπὸ τοῦ ἵημι· ὁ δεύτερος ἀόριστος ἧν· καὶ τὸ προστακτικὸν ἕς· καὶ ἐν συνθέσει πρόες.

Πρόσχωμεν· πᾶς ὁριστικὸς ἢ ὑποτακτικὸς μονοσύλλαβος· εἰς ω λήγων· ἔχων τὴν μετοχὴν εἰς ς· ὀξύτονον· τὸν αὐτὸν τόνον φυλάσσει καὶ ἐν τῇ συνθέσει· οἷον βῶ· ἀναβῶ· καταβῶ· δῶ· ἀναδῶ· εἰ δὲ μὴ εἰς ς· ὀξύτονον ἔχοι τὴν μετοχὴν· ἀναβιβάζει τὸν τόνον· οἷον χῶ· κατάσχω· ἐξ οὗ καὶ τὸ πληθυντικὸν κατάσχωμεν καὶ πρόσχωμεν.

Προικόννησος· ὄνομα νήσου· ἢ γεγονομένη· ἐν ᾗ τὰ μάρμαρα τὰ πλεῖω εἰσί.

Προοίμιον· πρόλογος· ἀρχὴ λόγου.

τὸ λεγόμενον πρὸ τῆς οἴμης.
οἴμη ἐστὶν ἡ ᾠδή.
Πρόες. ἵημι. ὁ δεύτερος ἀόριστος
ἧν. ἡ μετοχή. εἷς ἕντος. τὸ προσ-
τακτικὸν ἕς. καὶ μετὰ τῆς
προ. προθέσεως ὅθεν τὸ δυάδες.
ἄφες. καὶ τὸ ἄνες ποικιλλόμενον
τῆς προθέσεως.
Προέκαλαι. εἰς τὸ κιγκλίδες.
Προθέλιμνος. πρόρριζος. παρὰ
τὸ τέλος τέλυμνος. καὶ θέλυμνος.
Προθέλυμνος. πρόρριζος. ἐκ τῆς
ῥίζης. θέλιμνος τὶς ὤν. καὶ θέλεμ-
νος. θέλυμνος δὲ κυρίως. ὁ θεμέ-
λιος.
Προθεσμία. ἐκ τοῦ θεσμός. ὃ
σημαίνει τὸν νόμον. τοῦτο ἐκ
τοῦ τίθημι τίθεμαι. θεμός καὶ
θεσμός ὁ νόμος. ἢ ἀπὸ τοῦ προτέ-
θηναι τὴν ἡμέραν ἐν ᾗ τόδε γενέσθαι
χρή. ἢ καὶ ἀπὸ τοῦ προθεσμίζειν.
ἐὰν ἡμεῖς προτιθῶμεν προθεσ-
μίαν τινά. εἰ δ' ὁ θεός. ὁ προτιθείς.

καὶ ἀπὸ τοῦ προθεσπίζειν εἴρηται
τὸ ὄνομα· προθεσπίζοντος τοῦ θεοῦ
καὶ προνομοθετοῦντος περὶ τῆς
ἡμέρας· ἐν ᾗ τυχὸν τὸν δεῖ τῆς
ζωῆς ταύτης ὑπεξελθεῖν· ἢ τὸν
δὲ καταλυθῆναι τὸν ὑλικὸν σύμπαν-
τα κόσμον· καὶ θεσπίζειν μὲν· ἐπὶ
θεοῦ κυρίως· καταχρηστικῶς δὲ
καὶ ἐπὶ βασιλέως.

Προΐαπτεν· ἐκ τοῦ ἰάπτω· τὸ πέμ-
πτω.

Προΐημι· εἰς τὸ προσήκατο.

Προῖκα· χρυσὸς ἦν· ἤγουν δωρεάν.
ἀγαθὸς ὑπῆρχε· τὸ δὲ προῖκα ἐ-
πίρρημα ποιότητος.

Προικόννησος· ὄνομα νήσου· ἐκ τοῦ
προὶξ· προικὸς· καὶ τὸ νῆσος· ἢ
πάσαις ταῖς νήσοις προῖκα τῶν
μαρμάρων δοῦσα.

Προΐκτης· ὁ προσαίτης· παρὰ
τὸ προϊκετεύειν.

Προὶξ παρὰ τὸ προϊκνεῖσθαι·

τοῦ γάμου· προίξ· οῦ· ἐκ τοῦ
προίξ.

προικίζω· γαμίζω· καὶ φερνίζω.

Προμαχίζειν· τὸ σχῆμα ἐστί· πτώ=
=σεως δοτικῆς· ἀντὶ γενικῆς· ὡς
τὸ ἄρχειν ἀργείοισιν· ἀντὶ τοῦ
ἄρχει τῶν ἑλλήνων· ἤτοι καὶ
τοῦτο· τρώων προεμάχει· τὸ
δὲ προμαχίζω· ἐκ τοῦ πρόμαχος·
τοῦτο ἐκ τοῦ μάχη· τῆς προ
προθέσεως· πρόμαχος· προμαχί=
=ζω· καὶ τὸ πρόμαχος ἐκ τοῦ
πρόχος γίνεται κατὰ συγκοπήν.
τοῦτο δὲ ἐκ τῆς πρὸ προθέσεως.
καὶ τοῦ μάχη· ὡς τὸ πέλλη· ἐωρ=
=πωλος.

Προμήθεια· ἡ πρόνοια· ἐκ τοῦ
προμηθής· τοῦτο ἐκ τοῦ μήδω·
τὸ μανθάνω· τροπῇ τοῦ δ· εἰς
θ· μῆθος· καὶ προμηθής· καὶ τὸ
θηλυκὸν προμήθεια· τὸ παρὰ
τὸ μαθεῖν· σύνθετα ἅπαντα· διφο=
=ροῦνται· πλὴν τοῦ ἀμαθία.

τὸ δὲ προμηθὴς. ἐκ τοῦ μήδω τὸ
μανθάνω. μηθία. καὶ προμήθεια.
ὀξύνεται δὲ τὸ προμηθὴς. ὡς τὸ
ἀσεβὴς. τοῦ προμηθοῦς. ὁ κανὼν.
ἐστὶ καὶ εἰς τὸ ἀσεβοῦς. τὸ θηλυ:
:κὸν ἡ προμήθεια. τὰ γὰρ παρὰ
τὸ μαθεῖν ἅπαντα. διφθόγγῳ πα:
:ραλήγεται. πλὴν τοῦ ἀμαθία.
καὶ ὁ μὲν εἷς κανών. ἐπάνω εἴρη:
:ται. ὁ δὲ ἕτερος λέγει. τὰ ἀπὸ
τῶν εἰς ης. ἀρσενικῶν. διὰ τοῦ
ια γινόμενα θηλυκά. ἀπολύτως
μὲν λεγόμενα. προπαροξύνονται.
ἐπὶ οὐσίας δὲ λεγόμενα. παροξύ:
:νεται.

προμοίρας. καὶ πρώρας διαφέρει.
προμίρας μὲν τὸ βιαίως ἀποθα:
:νεῖν. πρώρας δὲ τὸν νέον ἀποθα:
:νεῖν.

Πρόμαχος ὁ ἀντίδικος. παρὰ τὸ
βῶ. πρόβος ὁ προβαίνων. ἢ πα:
:ρὰ τὸ πρόμαχος.

πρόνοια ἡ θεϊκὴ ἐπιμέλεια. διότι

πρὸς τὸ συμφέρον καὶ χρήσιμον οἰκονο-
μεῖ ἕκαστα. πρόνοια δὲ λέγεται
τὸ ἀγαθόν. ὡς πρὸ τοῦ νοῦ ἰών.
πρόνοια σημαίνει τέσσαρα· τὴν φρον-
τίδα καὶ τὴν ἡγεμονικὴν τοῦ
παντὸς δύναμιν. καὶ τὴν προαί-
ρεσιν. καὶ τὴν πρόγνωσιν.

πρόξενος. καὶ ἰδιόξενος. καὶ δο-
ρύξενος. διαφέρει. πρόξενος
μὲν γὰρ πόλεως καὶ ἔθνους. ὁ δ' αὐ-
τὸς καὶ ἰδιόξενος. ἐπεὶ ὀρθῶς ὁ ὢν
Εὐριπίδης. πρόξενον. διαφέρει β.
τοῦ ἰδιοξένου

κακός τις ἐστι προξένω ... χρώμενος.
δορύξενος δὲ. ὁ κατὰ πόλεμον
γινόμενος φίλος. ἄλους γὰρ καὶ
ξενίων τυχὼν ἀφείθη παρὰ τοῦ
πολεμίου. λίτεας λάβουλος. μνᾶ
δὲ ἡ τεταγμένη. κομίσας δὲ καὶ
φυλάξας τὴν πίστιν ἐγένετο ξένος.
καὶ δορύξενος ἐκαλεῖτο.

Πρόσω πρόπεμψον. ἔστιν εἰμι.

τὸ πέμπω. ὁ μέλλων ἥσω. ὁ δευ-
τερος ἀόριστος ἧκα. ὁ παρακείμενος
ἧκα. ὁ παθητικὸς ἧμαι. ὁ μέσος
ἀόριστος ἥμην. τὸ τρίτον ἧτο. καὶ
τὸ δεύτερον αὐτοῦ πρόσωπον γί-
νεται κατὰ ἀποβολὴν τοῦ τ̄ ἧσο.
ἧς. καὶ ἐν συνθέσει πρόσθ. κατὰ δὲ
τροπὴν τοῦ τ̄. εἰς σ̄. ἕσω. ἡνί-
κα δὲ συντεθῇ. μετὰ μονοσυλλά-
βου. βαρύνεται οἷον σύνθου. ἀπό-
θου.

Προπάροιθεν. ἔμπροσθεν. ἐπίῤῥη-
μά ἐστι. τοπικὸν ἐκ τῆς προ
προθέσεως. καὶ τοῦ πάροιθεν.
τοῦτο ἐκ τοῦ πάρος πάροθεν.
καὶ πλεονασμοῦ τοῦ ι. πάροιθεν.
διά τι προπαροξύνεται. ἔστιν εἰς
τὸ οὐρανόθι.

Προπετής. ὁ ἄγαν ἐκπίπτων τοῦ
δέοντος. ἔμφασιν δηλοῖ ἡ προ.
πρόσωπον τουτέστιν ἀπὸ τοῦ προ-
σώ. ἔμπροσθεν. ἀλλ' οὐκ ἐκ πλαγίου

τούς ὦπας ἔχειν. διό καί μόνοις ἀνθρώποις ἐπικατηγορεῖται.

Προπηλακισθέντες· ἀδικηθέντες· ὑβρισθέντες· προπηλακισμός γάρ λέγεται ὕβρις μετά προ . τοῦ σώματος· ἀπό τοῦ πηλακίζω. τοῦτο δέ παρά τό πάλλω τό κι-νῶ· ἤ παρά τό πολλάκις. ἤ πα-ρά τό πηλός. ὅ καί βέλτιον. οἱ γάρ Ἀττικοί τόν ἐπί τινι ἁλόν-τα, πηλῷ χρίοντες, ἐδημοσίευον.

Προσέθη· ἄρειστος δεύτερος τῶν εἰς μι.

Πρότερος· καί πρῶτος διαφέρει. ὁ μέν γάρ πρότερος· ἐπί δυοῖν τάσσεται. ὡς ὅμηρος ἐπί τοῦ Πτολομαίου καί Σαρπηδόνος· καί τοῦ Πτολομαίου προτέρου. τό δέ πρῶ-τος ἐπί πολλῶν· ὡς ὅμηρος ἐπί τῶν ἐννέα ἀριστέων. τό πολύ μέν,

πρῶτος μέν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Προσδοκάσθω· ἔγκλισις προστακτική.

τὸ θῦμα προσδοκῶ· δευτέρα συζυ-
γίας τῶν περισπωμένων.

Πρέμνον· παρὰ τὸ τελευταῖον.
τὸ ὑπόσειζον τινί· πρέμνόν τι
ὄν· παρὰ τὸ πέρας.

Πρόσειλον· ἐκ τοῦ ἕλη· ὃ σημαίνει
τὴν θερμασίαν

Πρὸς πατρός· παρὰ πατρός· ἀντὶ
γὰρ τῆς παρὰ προθέσεως· ἡ πρός.

Πρόχνυ· ἐκ τοῦ χῶ· τὸ κρατῶ.
παράγωγον ῥῆμα· εἰς μι· ἴχνυμι
χνύω· ὁ δεύτερος ἀόριστος ἔχνυν.
ἡ μετοχὴ χνύς· χνύντος· καὶ τὸ
προστακτικὸν χνῦ.

Πρός· ἡ πρὸς πολλάκις· ἀντὶ
τῆς παρὰ παραλαμβάνεται· καὶ
εἰς τὸ πρὸς ἐρ πλατάνιστον· καὶ
πρόσηκον· καὶ πρόσφατον.

Προσευχή· εἰς τὸ εὐχή.

Προσευχή· ἔντευξις· καὶ δέησις δι-
αφέρει· προσευχὴ δέησις περὶ
τῶν συμφερόντων· ἔντευξις κατὰ

τῶν πλημμελησάντων δέησις εἰς
ἐκδίκησιν.

Προσέχειν εἰς τὸ ἀπροσεξία.

Προσέχετο. τὸ θέμα προσέχω.
μετὰ ποίας πτώσεως συντάσσεται
νῦν. μετὰ αἰτιατικῆς. ἔστι δ' ὅτε
καὶ μετὰ δοτικῆς.

Προσηγορική. εἰς τὸ Λαερτιάδης.

Προσήκατο. σημαίνει τὸ προσελά-
-βετο. ἔστιν ἵημι. καὶ μετὰ τῆς
προ προθέσεως προσίημι. οἷον.
προσίεμαί σε. τουτέστι προσλαμβά-
-νω σε. μετὰ δὲ τῆς προ προθέ-
-σεως σημαίνει τὸ προδίδω. καὶ λοι-
-πὸν ὁ μέσος ἀόριστος παθητικός.
προσηκάμην. καὶ τὸ τρίτον προσή-
-κατο. μετὰ δὲ τῆς προ προθέσε-
-ως σημαίνει τὸ προδίδω. οἷον οὐ
προΐημι τὴν ψυχήν μου. τουτέστιν
οὐ προδίδω.

Προσδοκῶσι. συζυγίας δευτέρας τῶν
περισπωμένων. διαφέρει δοκῶ
καὶ προσδοκῶ. ὅτι τὸ μὲν δοκῶ-

πρώτης συζυγίας τῶν περισπω-
μένων, τὸ δὲ προσδοκῶ δευτέρας.

Προσῆκον τὸ πρέπον. ἐκ τοῦ ἥκω τὸ ἔρχομαι. καὶ μετὰ τῆς πρὸς προθέσεως προσῆκον. ἡ γὰρ πρὸς πρόσθεσις. τὸ πλησιάζον καὶ προσεγγίζον σημαίνει. τὸ γὰρ πρέπον καὶ ἁρμόζον πλησιάζει. ὥσπερ τὸ ἀπαρέσκον. πόρρω καθίσταται.

Προσήλυτος. ἐκ τοῦ ἐλεύθω. ἐλεύσω. ἤλευκα. ὁ παθητικὸς ἤλευσμαι. ἤλευσαι. ἤλευται. ἠλυτὸς καὶ προσήλυτος. ὁ μέτοικος. καὶ φυγάς.

Προσηνής. ἐκ τοῦ ἠνίον. ὁ σημαίνει τὸ χαλινάριον.

Προσηνὴς ὁ πρᾶος. παρὰ τὸ αἶνος. αἰνής. καὶ προσηνής. ὁ ὢν ἐγγὺς τοῦ αἰνεῖσθαι. καὶ εἰς τὸ ἀπηνής.

Πρόσθεν ἐκ τοῦ πρόσω. πρόσωθεν. καὶ ἐν συγκοπῇ πρόσθεν.

Προσίεμαι. εἰς τὸ προσίκατο.

Πρόσιτον εἰς τὸ ἀπρόσιτον.

προσκόπτω· τὸ προσκρούω· ἐξ
οὗ καὶ πρόσκομμα τὸ πταῖσμα.
ὡς τὸ προσκόπτεις· τῇ· σαρκί.
Προσκήνιος· διὰ τοῦ η· παρὰ
γὰρ τὴν σκηνήν· ὅπερ οἱ Δωριεῖς
διὰ τοῦ α λέγουσιν.

Πρὸς ῥα πλατάνιστον. ἡ πρὸς.
ὧδε κυρίως ἐστὶν. ἢ καταχρηστικῶς.
καταχρηστικῶς ἐπειδὴ ἡ πρὸς.
ἐπὶ τῶν ἐμψύχων τάσσεται. ἡ δὲ
εἰς ἐπὶ τῶν ἀψύχων. καὶ ὤφει-
λεν εἰπεῖν εἰς ῥα πλατάνιστον. ἀλλ'
ἔταξεν αὐτὴν καταχρηστικῶς. πρὸς
ῥα πλατάνιστον· ὄνομα παρωνυ-
μον. τὸ γὰρ πλατάνιστος καὶ
πρώτιστος. τῇ μὲν φωνῇ εἰσὶν
ὑπερθετικά. τὰ δὲ σημαινόμε-
νω καὶ τῷ χαρακτῆρι ἀντὶ
τῶν ἁπλῶν εἰσὶν ὑπερθετικά.
καὶ ἔστι παρώνυμα. ἐκ τοῦ πλά-
τους. λέγουσιν αὐτὴν πλατύφυλ-
λον εἶναι.

Πρὸς ῥα πλατάνιστον· ὄνομα πα-
ρώνυμον. τὸ γὰρ πλατάνιστος καὶ

πρώτιστος· τῇ μὲν φωνῇ ἐστὶν ὑπερθετικά· τῷ δὲ σημαινομένῳ καὶ τῷ χαρακτῆρι· ἀντὶ τοῦ ἁπλῶν ἐστι· καὶ ἔστι παρώνυμον.

Πρόσφατος· ἢ πρὸς πρόσθεσις. τὸ γὰρ ἄρτι σημαίνει· καὶ γέγονεν ἀπὸ τοῦ σφάζω· σφατός· καὶ πρόσφατος ὁ ἀρτίως σφαγείς· καὶ τὸ οὐδέτερον πρόσφατον· ἢ ἀπὸ τοῦ φένω· τὸ φονεύω· ἢ παρὰ τὸ φαίνω· τὸ δεικνύω· ὁ πρὸ μικροῦ φανείς· καὶ δειχθείς· φάγω· ἔφαγον· πρόσφαγον τὸ ἔμπροσθεν φαγόμενον· καὶ εἰς τὸν καιρόν.

Προσφυῶς· ἐπίρρημα· ἐκ τῆς πρὸς προθέσεως καὶ τοῦ φύς· ὁ σημαίνει τὸ περιπλέκειν καὶ φιλεῖν γίνεται προσφυῶς.

Προσφάγιον· τὸ προσφάτως ἐσθιόμενον.

Προσφυῶς· οἰκείως· ἀκολούθως.

προσφυής· προσοικειούμενον.

Προτέρημα. ἡ προτίμησις.

Προσπτύσσομαι. εἰ μὲν σημαίνει τὸ προσκολλῶμαι· μετὰ δοτικῆς συντάσσεται. εἰ δὲ τὸ ἀσπάζομαι ἐστὶν αἰτιατικῇ.

Προτέλεια. εὐχή· ἐκ τῆς προ προσθέσεως. καὶ τοῦ τέλει. ὃ σημαίνει τὴν ἑορτήν. ἢ πρὸ τῆς τελειώσεως. αὕτη δέ ἐστιν ἡ περὶ νοσούντων καὶ ἀποδημούντων προσφερομένη παρ' ἡμῶν θυσία ἐκ καρπῶν.

Πρόσωπον. παρὰ τὸ ἔμπροσθεν ἔχειν τοῦ ὦπας.

Προτέρω. ἐκ τοῦ πορροτέρω. κατὰ συγκοπὴν ἔχειν τοὺς ὦπας.

Προτέρω. ἐκ τοῦ πορρωτέρω κατὰ συγκοπήν.

Προτιδέγμενος. εἰς τὸ ποτιδέγμενος.

Προτόνοισιν. ὄνομα. ἔστι οὐδετέρου γένους. πληθυντικὸν τὰ

πρότονα. τοῖς προτόνοις καὶ προ-
:τόνοισι καὶ προτόνοια.

Πρότμησις. ἡ πρώτη τομὴ τοῦ
ὀμφαλοῦ. παρὰ τὸ πρῶτον τῶν
ἄλλων τέμνεσθαι.

Προυργιαίτερον. τὸ πρὸ τοῦ ἔργου
αἱρετώτερον.

Πρόφρων. πρὸς τὰ θεῖα φρόνιμος.

Προφητεία. τὸ φη. η. διατί.
ἐκ τοῦ φῶ. φήσω. τὸ τῇ δίφθογγον.
διατί. τὰ ἀπὸ τῶν διὰ τοῦ ωω
ῥήματα.

Πρόφθασον. ἐκ τοῦ προφθάζω.
τοῦτο ἐκ τῆς προ προθέσεως.
καὶ τοῦ φθῶ. τὸ φθάζω. τοῦτο
ἐκ τοῦ θέω. τὸ τρέχω. καὶ πλεο-
:νασμῷ τοῦ φ̄. φθῶ.

Προφήτης. παρὰ τὸ φῶ. τὸ λέγω
καὶ τὰ λοιπὰ δῆλα. προφήτου ὁ
κανών. τὰ ἀπὸ παθητικοῦ παρα-
:κειμένου. ἢ τὰ εἰς της ῥήματα.
εἰς η. ἔχει τὴν γενικήν. καὶ εἰς
τὸ βασιλ.

πρόφρων· ἔστι καὶ ὄνομα ὁ πρό:
:φρων· ποιητικὸν ἐστι· καὶ ἐπίρρη:
:μα μηθότητος· ἀντὶ τοῦ προ:
:θύμως.

Πρόχνυ· ἐπὶ γονάτων· παρὰ τὸ
ἐπὶ γόνυ· πρόθεσις δὲ ἀντὶ προθέ:
:σεως.

Πρύμναν· οἱ πάντες ἐκρούοντο.
πρύμναν ἀνακρούσασθαι κυρίως· ἐστὶ
τὸ κατ' ὀλίγον ὑπαναχωρεῖν· μὴ
στρέψαντας τὸ πλοῖον· ὁ γὰρ οὕτως
ἀναχωρῶν· ἐπὶ τὴν πρύμναν κω:
:πηλατεῖ· τοῦτο δὲ ποιοῦσιν, ἵνα
μὴ δόξωσι φεύγειν φανερῶς· κατ'
ὀλίγον ὑπαπιόντες· ἢ ἵνα μὴ τὰ
νῶτα τοῖς πολεμίοις δόντες· τι:
:τρώσκωνται.

Πρότερα· καὶ προτεραία διαφέρει.
πρότερα μὲν ἐπὶ τάξεως· προτεραί
:α δὲ ἐπὶ μόνης ἡμέρας.

Πρόνεικος· ὁ ὑβριστής· ἐκ τοῦ νεί:
:κος γενόμενον· ἢ πρόνεικος ὁ
εὐκίνητος· καὶ δρομεύς· ὁ νικηφό:
:ρος.

προύνεικος· καὶ οἱ μὲν ἀπὸ τοῦ ἐ-
νεγκεῖν ἐσχημάτισαν· ἐπὶ γὰρ ἀπαι-
-δεύτων φασὶ κεῖσθαι τὴν φωνήν.
Ἀλεξίων μέν τοι· παρὰ τὸ ἔνικος
ἐσχημάτισεν· κυρίως γὰρ λέγεσθαι
προυνείκους· τοὺς μισθοῦ τὰ ἐξ ἀγορᾶς
ὤνια κομίζοντας παῖδας· Δημήτριος
δὲ φησί· τοὺς διδόντας· τὰ ὤνια·
πρὶν ἢ λαβεῖν τιμήν· δῆλον δὲ ὅτι
εἴτε κατὰ τὸν Ἀλεξίωνος λόγον· εἴτε
κατὰ τὸν Δημητρίου· διὰ τῆς ει διφ-
-θόγγου ἡ γραφή ἐστιν·
προύνεικος· καὶ προυνείκους· σημαί-
-νει τοὺς ὑβριστάς· καὶ τοὺς ἄνδρας τοὺς
ἱσταμένους ἐν τῇ ἀγορᾷ· καὶ φέροντας
τὰ ὤνια· καὶ λαμβάνοντας ὑπὲρ τού-
-του μισθόν· ἐφ' ἑκατέρων δὲ τῶν ση-
-μαινομένων τούτων· διὰ τῆς ει
διφθόγγου γράφεται· καὶ εἰ μὲν τοὺς
ὑβριστὰς σημαίνει· διὰ τῆς ει διφθόγ-
-γου γράφεται· ἐπειδὴ παρὰ τὴν προ
πρόθεσιν· καὶ τὸ ἐνεῖκαι βοιώτιον
γέγονε προύνεικος·

Πρωμνώρεια· τὸ τελευταῖον τοῦ ὄρους.

Πρυτανεῖον· διὰ τῆς ει διφθόγγου γράφεται· τῷ λόγῳ· τοῦ βαλανεῖον. ἰστέον ὅτι πρυτανήϊον εἴρηται κατὰ διάστασιν· ἐκτάσει τοῦ ε̄· εἰς η̄· λέγεται δὲ πρυτανεῖον· παρὰ τὸ ἐκεῖ φυλάττεσθαι τὸν σῖτον· πυροταμιεῖον καὶ πρυτανεῖον· καὶ προτάνειον· παρὰ τὸ πρύτανις.

Πρυμνήσιον· τὸ ἄκρον καὶ ἔσχατον τῆς νηός· παρὰ τὸ πέρας εἶναι· οἷον περυμνόν τι ὄν· περύμνη τις οὖσα. καὶ πρύμνη· ἢ παρὰ τὸ εἰς πέρας μένειν.

Πρυτανεῦσαι· διοικῆσαι· προστατεῦσαι· φυλάξαι· βασιλεῦσαι· ταμιεῦσαι. κυρίως γὰρ ἐπὶ τούτου τοῦ σημαινομένου τάσσεται ἡ λέξις· πρύτανις γὰρ λέγεται ὁ σιτοφύλαξ· οἱονεὶ πυροταμίας τις ὤν· καὶ συγκοπῇ πρύτανις· καὶ τροπῇ τοῦ μ̄· εἰς ῡ· πρύτανις.

Πρῶ· σημαίνει τέσσαρα· τὸ πρᾴω. τὸ πράττω· τὸ πέπρακα καὶ τὸ ἐμπυρίζω.

Πρωτόλεια. τὰ πρῶτα τῆς λείας.
ἤτοι τῆς πραίδας. καὶ πρωτόλειον
ἡ ἀπαρχή. τοῦτο δὲ ἐξ ἀπολείποντος
καὶ τελείου.

Πρωτόλιον. ἐκ τοῦ πρῶτος. καὶ
τοῦ λήϊον. ὃ σημαίνει τὸ σιτοφόρον
πεδίον. σημαίνει δὲ τὴν ἀπαρχήν.

Πρῶονες. οἱ προβεβλημένοι καὶ προ-
νενευκότες τῶν ὀρῶν. οἱ ὑψηλοὶ
τόποι. παρὰ τὸ ἐξέχειν.

Πρωώλειαν. τὴν πρώτην ἀπώλειαν.

Πρωΐα. ἀπὸ τοῦ προϊέναι ἡμᾶς.
ἢ ἀπὸ τοῦ προϊκνεῖσθαι τῆς ἡμέρας
τὸν καιρὸν τοῦτον.

Πρωΐας. παρὰ τὴν προ πρόθεσιν.
χρόνον δηλοῦσαν. παρὰ τὸ προϊέναι.
καθ᾽ ὃ ταύτης ἐπιφαινούσης προΐ-
ασιν οἱ ἄνθρωποι.

Πρώϊος. ἐκ τοῦ πρωΐ. πρωϊνὸς ἐ-
πίρρημα.

Πρωτόλεια. τὰ πρῶτα τῶν λῃΐων.
καὶ προτέλειον. τὸ ἁγνὸν θῦμα. ἤγουν

τέλειον. τέλειος γὰρ ὁ ἄγαμος.

Πρυτάνεις. οἰκονόμους. πρυτάνειον
τὸ κελλάρειον.

Πρῶν. πρωνός. τὰ εἴδη. πρωὶ γὰρ
πρῶν ἡ μετοχή. ὀξύνεται κατὰ
πλεονασμὸν τοῦ ο̄. πρῶνες.

Πρῶ. εἰς τὸ πρήθω.

Πρωΐην. ἐπίρρημα ἐκ τοῦ πρωΐα.
ἡ αἰτιατικὴ πρωΐαν. καὶ τροπῇ
τοῦ ᾱ. εἰς η̄. πρωΐην. καὶ βαρύνε-
ται πρώην. ἔχει δὲ καὶ τὸ ῑ. προσ-
γεγραμμένον. ἀπὸ παραδόσεως.

Πρωτεῖον. παρὰ γὰρ τὸ πρωτεύειν.

Πρωθήβης. ἐκ τοῦ πρῶτος καὶ τοῦ
ἥβη.

Πρωΐην. ἐκ τοῦ πρώϊος. πρωΐου.
πρωΐα. τὸ θηλυκόν. καὶ κλίνεται
πρωΐας. ἡ αἰτιατικὴ πρωΐαν ἐ-
γράφη.

Πρωΐ ἐπίρρημα καιροῦ προσαυλικόν.
εἰς τὸ ὄρθρος.

Πρωΐα. εἰς τὸ ὀψὶ τέλεσος.
πρωΐα. ἡ πρωινὴ κατάστασις.

πρῶρα· δισύλλαβος· παρὰ τὸ προορῶ· ἀφ' οὗ ἐστι προορᾶν καὶ βλέπειν τὰ ἔμπροσθεν· ἢ παρὰ τὸ προέχειν τοῦ σκάφους· ἢ παρὰ τὸ πρώτην εἶναι· ἢ παρὰ τὸ προορῶ· γίνεται πρόορα· καὶ κράσει τῶν δύο ο εἰς ω· πρῶρα.

πρῶτα· ἐπίρρημα· χρόνου δηλωτικόν· μεταχθὲν ἀπὸ τοῦ οὐδετέρου· ἰστέον ὅτι τὰ ἐπιρρήματα μεταγόμενα ἀπὸ οὐδετέρου τὸν αὐτὸν τόνον φυλάττειν θέλουσιν· ὡς τὸ σάφα· παρὰ τὸ σαφέα· συγκοπῇ τοῦ ε· καὶ τὸ ὠκέα· τὸ ὦκα· σεσημείωται παρὰ τὸν τόνον τὸ σφόδρα· τὸ ὄνομα ὀξύνεται· τὸ δὲ ἐπίρρημα βαρύνεται.

πρωτότοκος· ἐκ τοῦ πρῶτος καὶ τοῦ τόκος· διαφέρει πρωτότοκος καὶ πρωτοτόκος· πρωτότοκος μὲν ὁ πρῶτος γεννηθεὶς· πρωτοτόκος δὲ ἡ πρώτη γεννήσασα.

πρωτίστω· ὄνομα δοτική· πρώτιστον

ὑπερθετικόν· χαρακτηριστικά ἐστίν
ἢ σημαινόμενα· καί σημαινόμενα μέν
τινά αὐτῶν εἰσί καί χαρακτηριστικά·
καί σημαινόμενα· ὥσπερ ἐστι σοφώτα-
-τα· τινά δέ οὐχί. ἀλλά χαρακτη-
-ριστικά μέν· σημαινόμενα δέ οὐχί. τό-
-τε πρώτιστος· καί πλατάνιστος·
ἀντί τοῦ πρῶτος καί πλάτανος·
ἀντί ἁπλῶν εἰσί·

Πρῶτος· τό συγκριτικόν οὐκ ἔχει.
τό ὑπερθετικόν χαρακτῆρι μόνον·
καί ἡ αἰτία ἐστιν αὕτη· ἐπειδή τά
ὑπερθετικά· τριγενῆ εἰσί· τάδε.
. . . οὐκ ἔχουσι· καί τί δια-
-φέρει τά ὑπερθετικά τῶν συγκριτι-
-κῶν· διαφέρει· ὅτι τά μέν ὑπερθε-
-τικά· ἀπηρτισμένα· καί ἀκρο-
-τάτην ἔχοντα ἐπίτασιν· οὐκ ἐπι-
-δέχονται· ἐπιτατικά ῥήματα·
οἷον τό μᾶλλον ἢ ἧττον· ἢ ἄγαν· ἢ
λίαν· ἢ πάνυ· ἢ μάλιστα

τό π· μετά τοῦ τ·

Πταίω· ἐκ τοῦ πτῶ· τό πίπτω·

κατὰ παραγωγήν. πταίω. ὅθεν πτε-
ἐκ τοῦ πτερῶ. τὸ τελειῶ. πτεραίω.
καὶ πλεονασμῷ τοῦ ν. πτεραίνω. ἐξ
οὗ καὶ τὸ νέον πτεραίνεις. καὶ ἀπὸ
τοῦ βῶ. βαίω. καὶ γῶ. γαίω. τὸ γαυ-
ρειῶ. κύδεϊ γαίων.

Πτερέλας. εἰς τὸ λάας.

Πτέρνα. παρὰ τὸ ἐμπεπτωκέναι
αὐτῇ ὅλον τὸ σῶμα. ἢ παρὰ τὸ
πατεῖν τὴν ἔραν. ἢ παρὰ τὸ πατῶ.
πατέρνα καὶ πτέρνα.

Πτέρυξ. παρὰ τὸ πτερύξω. πτέρυξ.
τὸ δὲ πτερύσσω. παρὰ τὸ πτερῶ.
πτερήσσω. τοῦτο δὲ παρὰ τὸ πτῶ. πτή-
σσω. τί διαφέρει πτέρυξ καὶ πτερύξ. πτέ-
ρυξ λέγεται τὸ ὅλον μέρος. πτερύξ
δὲ τὸ ἄκρον.

τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.

οὐδέτερον.

Πτερόεντα. ὄνομα οὐδέτερον. τὸ ἀρ-
σενικὸν πτερόεις. καὶ πτερόεν. καὶ
πτερόεντα. τὸ δὲ πτερόεις. τὰ ὁ μι-
κρόν.

Πτερωτόν. παρὰ τὸ πτερῶσαι. τοῦτο

παρά τό πετερόν· τοῦτο παρά τό
πέτω· πέτομαι.
πτερύξ· ἡ σάρξ· ἡ ἐκφύονται τά πτερά.
πτέρυξ δέ τά πτερύγια· δι' ὧν πέτον-
-ται· καί κλίνεται πτέρυγος· ἡ εὐθεῖα
πτέρυξ· καί παροξύνεται καί κλίνεται
πτέρυγος· γίνεται δέ ἐκ τοῦ πτερύσσω.
τοῦτο ἐκ τοῦ πετερόν· καί πτερόν.
τοῦτο δέ παρά τό ἐρύκειν τό πί-
-πτειν· διατί λέγεται ὧδε· πτερύξ ὀξυ-
-τόνως. πτερύξ δέ ὀξυνομένη περιεκ-
-τικήν τινα ἔννοιαν σημαίνει· ἤγουν
ὅλων. βαρυνομένη δέ μέρος τι τοῦ
πτεροῦ.
πτιλός· ὁ μαδαρός τοῖς βλεφάροις· ὁ
[illegible]ιμβλός.
Πτήσσω· σημαίνει τρία· πτήσσω· τό
φοβοῦμαι· διά τοῦ η· ἐξ οὗ καί
— κατεπτήσσετο φόβῳ.
πτίσσω· τό τύπτω· διά τοῦ ι· ἐξ οὗ καί.
πτισσόμεναι κριθαί· καί πτισάνη·
τό πίτυρον· καί πτύσσω· τό ἀναφα-
-λίζω· διά τοῦ υ· ψιλοῦ.
πτίλα· τά μικρά πτερά· παρά τό

τίλλω.

πισσόμενος. ἐκ τοῦ πίσσω. τὸ πτή-
-τω. ἐξ οὗ καὶ πισάνιον.

πισάνη ἢ λελεπισμένη κριθή. παρὰ
τὸ πίσσω. τὸ καθαίρω. καὶ ἐπισ-
-μένον τὸ κεκαθαρμένον.

πίτον. παρὰ τὸ πίτω. τὸ ἀποπ-
-τύον καὶ ἀποῤῥίπτον τῶν καρπῶν
τὰ ἄχυρα.

πτηνόν. τὸ ὄρνεον. τοῦτο δὲ γίνε-
-ται ἐκ τοῦ πτῶ. τὸ φοβοῦμαι ὁ
μέλλων. πτήσω. καὶ ἐξ αὐτοῦ πτη-
-νόν.

πτήσσω. εἰς τὸ πίτυρον. καὶ πτω-
-χός.

πτίλα. τὰ ἄρρενα. παρὰ τὸ τίλλω.
τίλλα. καὶ πλεονασμῷ τοῦ π πτί-
-λα.

πτισάνη. καὶ πίσσω. εἰς τὸ πίτυ-
-ρον.

πτοῖαι. δειλίαι. παράλογοι φόβοι.
ἢ ἐκπλήξεις. ἄλλοι κίνδυνοι. οἱ δὲ
ταραχαί. ἀπὸ τοῦ πτόω ῥῆμα. γίνεται
πτόα. καὶ πλεονασμῷ τοῦ ι πτοῖα.

πίλος. ὁ μικροὺς ὀφθαλμοὺς ἔχων.
πολίεθρον. ἐκ τοῦ πόλις. κατὰ
ποιητικὸν ἔθος γίνεται πολίεθρον.
καὶ διαφέρει ὅτι πόλις. καὶ χωρὶς
τοῦ π. τὸ δὲ πολίεθρον ἄνευ τοῦ
π οὐ λέγεται. γράφεται δὲ διὰ τοῦ
ε. ψιλοῦ. τὰ εἰς ερον ὑπέρτρια μετ'
ἐπιπλοκῆς συμφώνου ὑπὲρ δύο συλ-
λαβὰς ὄντα. ἑνὶ φωνήεντι παρα-
λήγεται. οἷον πέλεθρον. φέρετρον.
καὶ τὰ φέρετρα. βέρεθρον. τέρετρον.
δέρετρον. πρόσκειται ὑπὲρ δύο συλ-
λαβάς. διὰ ῥεῖθρον καὶ κλεῖθρον.
ταῦτα γὰρ δισύλλαβα εἰσί. παρὰ
τὸ δέρα γὰρ δέρετρον. ἐκ τοῦ δέρω
ἐστι. δι' ἧς ὁρμώμεν.

Πολίπορθος. πόλεις πορθοῦσα. πολε-
μική. γίνεται ἐκ τοῦ πέρθω. τὸ
δὲ πέρθω παρὰ τὸ περιθέω.
τουτέστι περιτρέχω τὴν γῆν καὶ
τὴν πόλιν. καὶ διατί ὥσπερ ὁ
καλλιγράφος ἐκ τοῦ γράφω ῥήματος
ὀξυτόνου. πρὸ μιᾶς ἔχει τὸν τόνον.

μὴ καὶ πολίπορθος. ἐκ τοῦ πορθῶ
ῥήματος γεγονώς. πρὸ μιᾶς ἔχει τὸν
τόνον. ἐπειδὴ τὰ εἰς ος ὀνόματα
ἀπὸ ῥημάτων δισυλλάβων τῶν ἀπὸ
μακρᾶς ἀρχομένων σεσημειωμένα
προπαροξύνονται οἷον συλῶ. ἱερόσυ-
λος. μυκῶ ἐρίμυκος. οὕτω καὶ πορ-
θῶ. πολίπορθος.

πλῦσμα. πλῦσις ἤτοι ῥίψις. τοῦ
ἐμῶ. τουτέστι τοῦ πλήθους τῶν ὑ-
γρῶν.

πτόλις εἰς τὸ ἔσω τὸ κλείονται. ἐκ
τοῦ πτοῶ. τοῦτο ἐκ τοῦ πέτω. πο-
τῶ καὶ ὑπερθέσει τοῦ π. πτοῶ
πτοήσω. τὸ πτο μικρόν. ἐκ τοῦ πτοῶ
τὸ φοβοῦμαι. καὶ καταπίπτω.

πτύσσω. εἰς τὸ πυκινόν. καὶ πυκνά.
καὶ πτύξ.

πτυχία. εἰς τὸ πυγμή.

πτῶ. εἰς τὸ πατάσσω. καὶ παίω.

πτωσκάζειν. εὐλαβεῖσθαι. ἢ κατα-
πτήσσειν. παρὰ τὸ πτῶ ὃ σημαίνει

τὸ φοβοῦμαι καὶ τὸ σκάζω. ὃ σημαίνει τὸ ἐκκλίνω. ἐξ οὗ καὶ σκαιός

πτωχός. παρὰ τὸ πτήσσω πτηχός τις ὤν. πτωχὸς γὰρ οὐχ ὑφίσταται ἀπειλήν· ἢ παρὰ τὸ πτώσσω. οὗ ὁ μέλλων πτώξω. ὁ παρακείμενος πέπτωχα. καὶ ἐξ αὐτοῦ πτωχός. τοῦτο παρὰ τὸ πτήσσω. τὸ φοβοῦμαι. ἢ διὰ τὸ πτῶμα πλουτεῖν ἔχειν. καὶ εἰς τὸ πένης.

Πυγμή. εἰς τὸ πυγμαῖος.

## τὸ π. μετὰ τοῦ υ.

Πυγμαῖος παρὰ τὸ πυγμή. ὃ σημαίνει τὴν πῆχυν. γίνεται πυγμαῖος. καὶ κατὰ συγκοπὴν πυγμαῖος. ἢ ἐκ τοῦ πυγμή. ἐστιν εἶδος ἀγῶνος. παρὰ τὸ πτύσω. ὁ μέλλων πτύξω. πτυγμή. καὶ ἀποβολῇ τοῦ τ πυγμή. σημαίνει γὰρ ὅτι κλείοντες τοὺς δακτύλους πτύσσομεν. σημαίνει δὲ τὸν γεόνθον. λοιπὸν ἐκ τοῦ πυγμή.

γίνεται ὄνομα παρώνυμον πυγμαῖος
τὸ καὶ δίφθογγον· τὰ ἀπὸ τῶν εἰς
ᾱ· καὶ εἰς η̄· θηλυκῶν.

Πυγμή· σημαίνει τὸν γρόνθον τῆς
χειρός· γέγονε παρὰ τὸ πυγμή.
καὶ πυγμή· ἐξ οὗ γίνεται καὶ πτυ-
χία· τὰ ἀσφαλιζόμενα· ἡ γενική
τῶν πληθυντικῶν πτυχῶν· ἐκ δὲ
τοῦ πυγμή γίνεται πυγμαῖος.

ἀνδράσι πυγμαίοισιν —

ἤγουν ἴσοις γρόνθοις.

Πυέλους σκαφίδας· ἐν οἷς λούονται
παρὰ τὸ πεπυθός· τουτέστι τὸ
σεσηπὸς ἔλαιον. κυρίως δὲ ὅπου
τοὺς πυροὺς πλύνουσιν· οἱονεὶ πυ-
ρέλους τινὰς ὄντας. ἐκβολῇ τοῦ ρ̄.

Πυέλης· ζήτει . . . ἐν
ὑπομνήματι τῆς ὀδυσσείας . .

. . σαγωφίς· ποιεῖ τρίτον· ποί-
θω· ποιθῶ· ἢ πειθῶ· πυθῶ· ἐν ᾗ
ἐσάπη ὁ δράκων· ἢ ἐν ᾗ πεύθονται
τοὺς χρησμούς.

πύθεσθαι· αἰτεῖσθαι· ἐρωτᾶν·
μαθεῖν· ὁ ἐνεστώς· πεύθω· πεύθω
ἐπυθόμην· πυθέσθαι τὸ ἀπαρέμφα=
:τον· πᾶν εἰς θαι λῆγον· ἀπαρέμ=
:φατον ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ.
πλὴν τοῦ παρακειμένου καὶ τοῦ μέσου
ἀορίστου δευτέρου· σεσημείωται τὸ
ἔρεσθαι· ἀορίστου δευτέρου ὄν.

Ἀλλ' ἐθέλω σε φέριστε περὶ ξείνοιο ἔρεσθαι.
διαφέρει πύθεσθαι καὶ πυθέσθαι.
πύθεσθαι μὲν σημαίνει· τὸ σήπεσθαι.
πυθέσθαι δὲ τὸ ἀκοῦσαι· καὶ μαθεῖν.
πυθμήν· φυτοθμήν τίς ἐστι· οἷον
τοῦ φυτοῦ θέσις· καὶ τροπῇ τοῦ
φ· εἰς π πυθμήν.

Πυγοστόλος· πυγοστόλον οἱ μὲν τὴν
μαστροπὸν λεγομένην· ἤγουν τὴν προ=
:αγωγόν· οἱ δὲ αὐτὴν τὴν γυναῖκα τὴν
ἑταιρίδα· τὴν περὶ τὴν πυγὴν στολι=
:ζομένην, τουτέστι κοσμοῦσαν ἐκεῖνα
τὰ μέρη πανούργως τοῖς ἱματίοις.
στέλλειν γὰρ τὸ κοσμεῖν.

πτώξ. ἐπίθετον τοῦ λαγωοῦ παρὰ τὸ
πτώσσειν καὶ δειλιᾶν. δειλὸν γὰρ τὸ ζῶον.
πτῶκα λαγωόν. παρὰ τὸ πτώσσειν.
Πύθω. σημαίνει δύο. πύθω. τὸ σήπω.
πύθω. τὸ ἐρωτῶ καὶ ἀκούω.

Πυκινόν. πυκνόν. συνετόν. ἀσφαλῆ.
τὸ κι. ῑ διατί. τὰ εἰς νος ὀνόματα.
ἀπὸ ἐπιρρημάτων γινόμενα. διὰ τοῦ
ῑ γράφεται. οἷον ἀληθές ἀληθινός.
τὸ πι βραχὺ διατί. τὰ παρὰ τὸ
τύω. πετύω. πετύσω. καὶ συγκοπῇ
πτύσω. ἄλλο γὰρ οὐ σημαίνει τὸ πτύ-
σω. εἰ μὴ τὸ ἐπιπίπτειν. ἕτερον
πρὸς ἕτερον. τὸ κι. βραχὺ διατί.
τὰ εἰς νος ὀνόματα ὀξύνεται. μὴ
ὄντα παρώνυμα διὰ τοῦ ῐ βραχὺ
ἐκφέρονται. οἷον ἀδινός. πεδινός.
πυκινός. ταχινός. ἀληθινός. σεσημεί-
ωται τὸ χαλινός. τὸ μὲν χαλινός.
ὅτι ἐστὶ οὐδέτερον. λέγει γὰρ τὰ χα-
λινά. λοιπὸν ὡς διαλλάξαντα. καὶ
τὰ ἄλλα. διήλλαξε καὶ κατὰ χρόνον.

Πυκνά. ὄνομα οὐδέτερον. εὐθείας

τῶν πληθυντικῶν. σημαίνει δὲ τὰ
συνεχῆ καὶ συνετά. ἡ γὰρ φρόνιμος
διάνοια πεπυκνωμένη ἐστίν. ὥσπερ
τοὐναντίον ἡ ἔξοχος ἠραιωμένη.
τὸ ἀρὸς ὁ πυκνός. τοῦτο ἐκ τοῦ
πυκινός. τὸ δὲ πυκινὸς ἐκ τοῦ πύκα
ἐπῆκται. τὸ δὲ πύκα παρὰ τὸ πύσ-
σω. τὸ ἀσφαλίζω. πύσκα καὶ ἀπο-
βολῇ τοῦ σ̄. πύκα. πύκα καθωρηκται.
τὸ δὲ πύσσω. παρὰ τὸ πετῶ. πε-
τάσω. καὶ πύσσω. τὸ γὰρ πύσσειν
οὐδὲν ἄλλο ἐστιν. ἢ τὸ ἐπιπίπτειν
ἕτερον πρὸς ἕτερον.

Πύλῃ. ἀντὶ τοῦ πύλῃσιν.

Πύλαι. ἐκ τοῦ πυλάσσω. καὶ φυλάσ-
σω. πᾶν γὰρ τηρούμενον ἐν πύλαις
τηρεῖται. ἡ γενικὴ τῶν πληθυντι-
κῶν πυλῶν. καὶ μετὰ τῆς ἐκ προ-
θέσεως. ἐκ πυλῶν.

Πύματον ἔσχατον. παρὰ τὸ πυθ-
μήν. καὶ αὐτὸς γὰρ ἐν τῷ ἐσχάτῳ
μέρει τοῦ ἀγγείου ἐστι. καὶ εἰς τὸ
ἔσχατον.

πυνθάνεσθαι. ἐρωτᾶν.

πύξ. ἐπίρρημα ποιότητος. γίνεται ἐκ τοῦ πύσσω τὸ ἀσφαλίζω. καὶ ὁ μέλλων πύξω. καὶ πύξ. καὶ ἀποβολῇ τοῦ τ. καὶ τοῦ ω πύξ. κατακλείοντες γὰρ τοὺς δακτύλους ἐν τῇ πυγμαχίᾳ ἐπάλαιον.

πύξ δὲ ἄνευ τοῦ κλυτομήδεα δῖον.

λέγεται γὰρ ὁ γρόνθος. ἐξ οὗ καὶ πυξίον τὸ δίπτυχον. ὃ σημαίνει τὴν δέλτον. πυξίδες. αἱ δέλτοι. καὶ αἱ ὁπλαὶ τῶν κτηνῶν.

πτύξ. ἡ ἔξοχος πτυχὸς τὸ σφάλισμα. πτύξιν δίπλωσιν. πτύχας τὰ ἐλάσματα. τῆς ἀσπίδος.

πτυχίον καταβατόν. βιβλίου σελίς.

πυθμάτος. ἐλλείψει τοῦ θ. παρὰ τὸ πυθμὴν. ὄνομα. ἀπὸ μεταφορᾶς τῶν ἀγγείων. ὁ γὰρ πυθμὴν ἔσχατος. εἰ δὲ τὴν ἀρχὴν ἔχει. πυθμὴν οὖν πυθμάτος. καὶ ἀποβολῇ. τοῦ θ. πόματος.

πυκτίον· τὸ τῶν πάκτων· πυκ-
τίον δὲ τὸ πινακίδιον· ὁμοίως
καὶ τὸ πυκτὴ· ἡ βίβλος· παρὰ τὸ
πυκτὶς ἡ λύρα.

Πῦρ· φρέτι· ἐστὶν ὅτι φυσώμενον
ἐξάπτεται· ἢ παρὰ τὸ φύω· φρέ-
τι γὰρ ἐν φυέστερον πυρὸς φύει· λα-
βόμενον ὕλης.

Πυτίνη· τῷ λόγῳ τοῦ αἰγιτίνη·
πυτίνη δὲ σημαίνει τὸ λεγόμενον
φλασκίον.

Πῦος· τὸ σεσηπὸς αἷμα· παρὰ τὸ
πύθεσθαι· ὅ ἐστι σήπεσθαι· ὅμηρος.
—— σὺν δ' ὀστέα πύθει ἄρουρα.

πῦος οὖν τὸ σεσηπὸς αἷμα· τὸ βεβλα-
μένον· καὶ τὸ γάλα ὁμοίως· οὕτως ἀ-
ριστοφάνης· πῦος ἡμῖν ἔδον· τὸ β
πεπηγὸς γάλα, διὰ τὸ αὐτὸ βέβλη-
καὶ ἔμπυος τὸ γαλακτῶδες, τῇ
ὁμοιότητι ὑγρόν.

Πῦρ· πόθεν· παρὰ τὸ φύω· τὸ ἀ-
ναβλαστάνω· οὐδὲν γὰρ ἐφυέστερον
πυρός· ἡνίκα ἐπιλάβηται· πῦρ εἴρηται
παρὰ τὸ φρέω· φρε· τοῦτο γὰρ —

φυσώμενον αἴρεται. ἐξ αὐτοῦ·
ταῦτα πέφυκε πῦρ ταὐτὸν εἶναι.
ἀνωφερέστερον. εἰς τὰ ἄνω ἐπαί-
-ρεσθαι.

Πυρά· αἱ πυρκαϊαί· τὸ γὰρ πα-
-λαιὸν τὰ σώματα τῶν θνησκόν-
-των. πρότερον ἔκαιον διὰ τὸ ἀπέ-
-ριττα γενέσθαι. καὶ οὕτως τὴν
τέφραν σὺν τοῖς ὀστέοις ὑπὸ γῆν
ἔθαπτον.

Πυραμίς· σχῆμα οἰκοδομῆς γεω-
-μετρικόν· παρὰ τὸ συμβαῖνον
αὐτῇ σχῆμα πλατέως κάτωθεν.
καὶ εἰς ὀξὺ λῆγον. ὅ ἐστιν ἐοικὸς
φλογὶ ἀναφερομένῃ.

Πυραυνός· ὁ χυτρόπους τὸ λεγό-
-μενον φωκίν παρὰ τὸ ἐνιαύειν
ἐν ἑαυτῷ.

Πυρετός· πῦρ ἐντὸς ἐκ τοῦ ἔσω.
κυρίως δὲ πυρετὸς ὡς ἡμεῖς λέγο-
-μεν, ἡ τοῦ θέρους ἔκκαυσις.

Πυργοβαρέσια· ἐκ τοῦ πύργος καὶ
τοῦ βάρος. ὃ σημαίνει τὸ φορτίον
γίνεται πυργόβαρις. πυργοβαρέας

τὸ Ἀττικόν. ἢ τὰ φορτία βαστάζου-
-σα. ἔστι δὲ κάραβος.

Πύργος· παρὰ τὸ ὑπέρτερα γῆς ἵστασθ-
-αι.

Πύργος· διὰ τὸ ὑπὲρ γῆν ἐπάνω
ἐπῆρθαι.

Πύργος· σημαίνει δύο· τὸ τεῖχος τῆς
πόλεως· καὶ τὴν στρατιωτικὴν τάξιν.

Πυργουμένη· σημαίνει τὸ πυργοπο-
-ιουμένη. εἴρηται παρὰ τὸ πύργος.
καὶ τὸ μένω· τὸ ἐπιμένω. δοτική
πυρί· κλίνεται πῦρ· πυρός· καὶ
ἔστιν ἐπὶ τῆς εὐθείας μακρόν· ἐπὶ
δὲ τῆς γενικῆς βραχύ. πρὸς ἀντι-
-διαστολὴν τοῦ σημαίνοντος. ἔστι
γὰρ πυρὸς καὶ σημαίνει τὸν σῖτον.
καὶ ἔστι μακρὸν τὸ ῡ.

Πυρπολούμενος· ἐμπυριζόμενος
παρὰ τὸ πέλειν ἐν τῷ πυρί· πῦρ
πυρὸς καὶ τοῦ πολῶ· τὸ ἀναστρέφο-
-μαι. τὸ δὲ πολῶ παρὰ τὸ πέλω
ἐξ οὗ καὶ πόλος ὁ οὐρανός. τὸ δὲ
πῦρ· παρὰ τὸ φύω. οὐδὲν γὰρ
εὐφυέστερον πυρὸς ἡνίκα ὡς καταπεί-
-τοῦ ὕλης δράξηται. ἢ παρὰ τὸ

φύρω. τὸ φύω. σημαίνει τρία· τὸ
ὑπάρχω. ἐξ οὗ καὶ τὸ θεὸς πεφυ-
κὼς καὶ τὸ ἀναβλαστάνω. ἐξ οὗ καὶ τὸ
ὡς ἀνδρῶν γενεή. καὶ τὸ χειρὶ κατα-
φύω. ἐν δ' ἄρα οἱ φῦ χειρί.

Πυραμίς. ἡ ἐκ πυρῶν. ὡς ἡ σησαμὶς
ἡ ἐκ σησαμῶν καὶ μέλιτος. τινὲς δὲ
ἀπὸ τοῦ συμβαίνοντος. αὕτη σχήμα-
τα ποιεῖν. πλάτος κάτωθεν καὶ εἰς
ὀξὺ λήγοντα. ὅ ἐστιν ἐοικὸς φλογὶ ἀνα-
φερόμενα. τοιοῦτος δὲ ἔτι καὶ ὁ πύ-
ραμος. καὶ ὁ πύργος. οὕτως Ἡρακλεί-
δης.

πυρπολουμένη. ἐμπυριζομένη. παρὰ
τὸ πολεῖν εἶναι τὸ πῦρ. ἐκπυρεῖναι.
πυρπολωκαία.

πυρρίχην. τὴν σύντονον ὄρχησιν. ἀπὸ
πύρρου, ἢ πυρρίχου. ἢ παρὰ τὸ διά-
πυρον τῶν ὀρχουμένων.

Πυρώδης. ἦχος. ἔστι πῦρ πυρός.
ἐξ οὗ πυρώδης καὶ τὸ οὐδέτερον.
πυρῶδες καὶ ἔστιν ὁ ἦχος ἀρσενικόν.
καὶ τὸ ἦχος οὐδέτερον.

Πυρσός. φῶς. πυρσὸς δέ ἐστι τὸ ἐκ

Φρυγανώδους ὕλης· ἀναπτόμενον πυρ
πυρός· ὁ σῖτος.
Πισά· εἰς τὸ ἔκπυσα.
Πύσις· εἰς τὸ ἐρώτη.

τὸ π̄ · μετὰ τοῦ ω.

Πω· εἰς τὸ πῶς· καὶ ποῖς καὶ πω.
Πώγων· παρὰ τὸ εἰπεῖν· ἄγειν· ἔστι
γὰρ ἔπω τὸ λέγω· καὶ ἄγω· τὸ φέρω.
καὶ ἐκ τούτου γίνεται ἐπώγων· καὶ
ἀποβολῇ πώγων. ὁ ἐπὶ τοῦ εἰπεῖν
ἄγων.
Πώγων παρὰ τὸ ἐν τῷ εἰπεῖν ἀ-
-γεσθαι. ἢ παρὰ τὸ πύσσω· τὸ
πηγνύω· πήγων καὶ πώγων· ὁ ἐν
τῷ εἰπεῖν ἑδραῖος καὶ ἀμετακίνη-
-τος ὤν.
Πόθεν πώγων παρὰ τὸ πω· τὸ
λέγω. καὶ τὸ ἄγων ὁ ἐν τῷ λέγειν
ἀγόμενος. διαφέρει τὸ πώγων
καὶ μύσταξ. ὑπήνη καὶ γένειον.
καὶ ἴουλος· πώγων μὲν λέγεται
μύσταξ. καὶ ἡ ἀπὸ τῶν ῥινῶν τρί-
χωσις. ὑπήνη δὲ ἀπὸ τοῦ ὑπ...

τῶ γειτνίω· καὶ ὑποκεῖσθαι· γένει-
σον δὲ ἡ ἐκ τῆς διαγῶνος ἐκφορή-
σιν τείχωσις· ἴουλος δὲ ἡ πρώτη
τῶν γενείων φύσις· πυκνωτάτη
οὖσα καὶ ἀκροτάτη τῆς φύσεως.

Πωλοδαμνεῖν· παρὰ τὸ πῶλος καὶ
τὸ δαμνῶ· δάμνα· τοῦτο παρὰ
τὸ ἐν τῇ πόα ἀλλεσθαι·

Πῶλος· ὁ ὄνος· καὶ ἄβωρ αὐτός· διὰ
τὸ τὴν πόαν πελάζειν· καὶ εἰς τὸ
αἰολοπώλων· καὶ τὸ πόλος·

πωλία τὰ στρουθία.

Πῶλοι οἱ νέοι ἵπποι· πόαλοί τινες
ὄντες· παράγωγον ὡς ἵππαλος.
οἱ περὶ πόαν ἀλόμενοι.

Πωλῶ τὸ πῶ μέγα· ἐξ οὗ καὶ
πωλίτης ὁ πράτης· καταχρηστικῶς
δὲ γράφεται τὸ πωλεῖν· διὰ τοῦ
ω μεγάλου· ἐκ τοῦ πώλου· τὰ ἀπὸ
βαρυτόνων ποιητικὰ εἶναι· μεταφό-
ρμενα εἰς περισπώμενα διὰ τοῦ
ω μεγάλου γράφονται· οἷον νέμω
νωμῶ· νωμῆσαι· κινεῖ· βωραξ· βῶρβα

ἀλκήν. ξηρά. στέῤῥω. στεῤῥοῦ.

ἔκτωρ δ' ἀμφιπερίστρωφα—

ἄγω καὶ πέλω. πελῶ. πλὴν τοῦ
πετῶ. ποτῶ.

μάτηρ δ' ἀμφιποτᾶτο.

καὶ εἰς τὸ ἀλλαντοπώλων.

Πῶμι. ὁ μέλλων πώσω. ὁ παρα-
κείμενος. πέπωκα. ὁ παθητικὸς
πέπομαι. ἐπόθην. καὶ κατεπόθην.
οἷον καὶ ἐβδελλάθην.

Πώποτε. οἱ μὲν ἀπὸ τοῦ πέποθεν
καὶ συγκοπῇ τῆς θεν. συλλαβῆς.
πώ. καὶ ἐπεκτάσει τοῦ ο. εἰς ω.
οἱ γὰρ Δωριεῖς εἰς τὴν ου δίφθογ-
γον εἰς ω μέγα τρέπουσιν. οἱ δὲ
ἀπὸ συνδέσμου.

Πώποτε. ἀπὸ τοῦ ποῦ γίνεται.
κατὰ τροπὴν Δωρικήν. τὸ γὰρ βοῦς
βῶς. μῶσαι βῶν.

Πῶϋ τὸ ποίμνιον. παρὰ τὸ πόαν
ἐν νέμεται. ἢ ὅτι ποιῶ ἥδεται.

Πώποτε. ἐκ τοῦ πῶ καὶ τοῦ
ποτέ.

Πωρός. ὁ τυφλός. πῶρος δὲ ὄνομα.
πωρίτης ταλαιπωρία.

Πῶρος· πάθος σκληρὸν καὶ λύπη· πη-
ρός ὁ τυφλός.
Πῶς· ἐστὶ τὸ αἰτικὸν πῶς
Ποσαπλῶς· ἐπίρρημα ποσότητος.
Πῶϋ τὸ ποίμνιον· παρὰ τὸ πῶ· τὸ
κτῶμαι· τὰ γὰρ κτήματα· ἀπὸ τῶν
θρεμμάτων· ἢ ὅτι ποτῷ ἥδεται καὶ
εὐφραίνεται.
Πῶρος ὄνομα κύριον· πόρος δὲ ἡ διά-
βασις.
Πῶϋ αἱ αἴθυιαι ἐπικλώθουσαν βώϋγες,
παρὰ τὸ βοῶ· καὶ τὸ ι· ἰυγμῷ· καὶ
αὗται καὶ δύπται πλεονασμῷ τοῦ
π· καὶ γάρ· βέλτιον δὲ· ἀπὸ τοῦ
δύπτου δύπτης· δύναται δὲ καὶ δύπτης
εἶναι ὁ κολυμβητής.
Πῶ δὲ τὸ πίνω· ὁ δὲ Φιλόξενος· πῶ
φησίν ἐστι· τὸ κτῶμαι καὶ πάσασθαι.
τὸ κτήσασθαι· κυρίως θρέμματα· κα-
ταχρηστικῶς δὲ πᾶν ὅτι οὖν· τέως δέ,
ὡς ὅταν· πολυπάμμονος ἀνδρός· ἀντὶ
τοῦ πολυθρεμμάτου καὶ πασάμενος ἀντὶ
β τοῦ κτησάμενος καὶ Θεόκριτος·
πασάμενος ποτὶ τὰς ἐν συρακούσαις
ἐπιτάσεις ἀντὶ τοῦ κτησάμενος· πάω γὰρ
τὸ κτῶμαι· καὶ πάσω μέλλοντα· ὄνομα
ῥηματικὸν πάμμων· καὶ πολυπάμμων.
πώρωσις ἡ τύφλωσις.

# Ἀρχὴ τοῦ Ρ. στοιχείου

## τὸ Ρ. μετὰ τοῦ Α.

Ῥάβδος· ῥᾶον εἰς ὁδὸν. ἢ παρὰ τὸ
ῥᾶον βαδίζειν. καὶ οὐδὲ ῥαβδίον.
διαφέρει ῥάβδος καὶ βακτηρία.
ῥάβδος μέν ἐστιν ἡ ... βακτη-
ρία. καὶ ἡ τοῦ γήρους ἀνάπαυσις.
ῥαιβός. ὁ πλάγιος. παρὰ τὸ ῥᾶον
βαίνειν. κατ᾽ ἀντίφρασιν.
ῥαδινώτερον. κοῦφον. ἐλαφρότερον.
παρὰ τὸ δαμάζεσθαι. ῥᾶον.
ῥάδιον. τὸ ι. προσγεγραμμένον.
εὕρηται κατὰ διάστασιν ῥηΐδιον.
ῥαδιουργεῖν εἰς τὸ ῥᾷον.
ῥᾴθυμος. ἐκ τοῦ ῥᾶ καὶ τοῦ θυμός.
ὁ εὐκόλως μεταστρεφόμενος. ἢ παρὰ
τὸ ῥάδιος. καὶ ἀποβολῇ τοῦ δ. ῥᾷος.
καὶ συγκοπῇ τῆς ος συλλαβῆς ῥᾷος.
καὶ σημαίνει τὸ ι μὴ ἐκφωνούμενον.
καὶ μετὰ τοῦ θυμὸς τοῦ σημαίνοντος
τὴν ψυχήν.
ῥᾴθυμος. ὁ μετὰ ὀκνηρίας ἐπιπίπ-
τον τῇ ῥαθυμίᾳ. καὶ ἀγανακτῶν.

ἐκ τῶν τοῦ κόσμου πλειστάσεων.
κυρίως δὲ ῥαθυμία ἢ ἀμέλεια. καὶ
ὀλιγοψυχία.
ῥαίω. εἰς τὸ διαρρέωσεν. καὶ ῥεωνήσθη
καὶ λέπρα.
ῥαίνω. τὸ ραι δίφθογγον. τῷ νω μεγά-
τὰ εἰς νω λήγοντα δισύλλαβα βαρύ-
-τονα. τῇ αι διφθόγγῳ παραλήγον-
-ται. σαίνω. τὸ παρακαλῶ. χαίνω.
καίνω. τὸ φονεύω. φαίνω. μαίνω. ξαί-
-νω. δραίνω. τὸ ἰσχύω. τὸ αἰνῶ. μέ-
-νω. γένω. διὰ τοῦ ε. ψιλοῦ.
ῥαιστὴρ ἡ σφῦρα. ἡ σιδηρᾶ. παρὰ τὸ
ῥάσαι τὸ συντρίψαι. ῥαιστὴρ. καὶ
δακτυλικῆς.
ῥάκιον. βαρύνεται. ὡς ὑποκοριστικόν.
καὶ γίνεται ἐκ τοῦ ῥάκος. τοῦτο ἐκ
τοῦ ῥέω. ῥήσσω. ῥήξω. ῥάκος. τὸ δι-
-ερρωγὸς ἱμάτιον.
ῥάμνος. εἶδος φυτοῦ ἀκανθώδους.
γίνεται παρὰ τὸ ῥάπτω. ὃ σημαί-
-νει δύο. τὸ τε πλήττω. καὶ τὸ τὰ
διεστῶτα συνάπτω. ἐκ τοῦ ὅσω ῥάπ-
-τω τὸ πλήττω. ὁ παθητικὸς παρα-
-κείμενος ἔρραμαι. τὸ πέπληγμαι

ῥάμμος· καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ῥάμνος ἢ πλήσσουσα.

ῥαβεννήσιος· τῇ στολῇ συνάδει βενετίκῳ· ὃ συμπεπολίτευται αὐτῷ τῇ ἀρχαίᾳ γνώμῃ· τῇ οἰκήσει· ἐπεὶ συμπολιτεύεται χρυσῶς· φιλαδελφίαν ἔχων ὡς συμπάροικος· καὶ θρέμμα τῆς πάλαι πόλεως ῥώμης.

ῥάμφος· ἔγχος· καὶ πρόσωπον διαφέρει· πρόσωπον μὲν ἐπὶ ἀνθρώπων λέγεται· ἔγχος δὲ ἐπὶ τῶν τετραπόδων· ῥάμφος δὲ ἐπὶ τῶν πτηνῶν.

ῥαντίζω· ἐκ τοῦ ῥαίνω· ῥανῶ· ῥανίζω· καὶ πλεονασμῷ τοῦ τ· ῥαντίζω. τὸ δὲ ῥαντίζω· τοῦ πλύνω διαφέρει.

ῥᾶον· ἀπὸ τοῦ ῥᾶστον· ὥσπερ καὶ τὸ ῥᾷστος· ἀπὸ τοῦ ῥᾶον γέγονε. εἰκότως ἔχει τὸ ι· προσγεγραμμένον. οἷον ῥαθυμῶ· ῥαστώνη· σημαίνει δὲ τὸ μετὰ πανουργίας· διαπράττεσθαι.

ῥᾶον σημαίνει τὸ εὐχερὲς καὶ γέγονεν ἀπὸ τοῦ ῥ . . κατὰ συγκοπήν· καὶ οἱ Αἰολεῖς· ἐν τοῖς ὠντικοῖς ἀποβάλλουσι τὸ ι· πολλάκις.

τὸ δὲ ῥᾷον ἔχει τὸ ι· προσγεγραμμέ=
=νον· ἐπειδή· τὰ εἰς ων καθαρὰ· δι=
=σύλλαβα διφθόγγῳ θέλουσι παραλή=
=γεσθαι· τέσσαρα δέ εἰσι ταῦτα· καὶ
τὰ μὲν δύο ἐκφωνοῦσι τὸ ι· μεῖον.
πλεῖον· τὰ δὲ δύο· ἀνεκφώνητα αὐτὸ
ἔχουσιν· οἷον ῥᾷον· λῷον.

ῥανὶς· ἐκ τοῦ ῥαίνω.

ῥᾷον· τὸ εὔκολον· παρὰ τὸ ῥέω.
καὶ τί μετέχει ἐκ τοῦ ῥέω· τὸ
γὰρ εὐχερὲς γινόμενον· ῥέωδε ἔοικε.
καὶ εἰς τὸ πρᾶος.

ῥαθυμία· τρυφή· τέρψις· εὐκολία·
ἀεργία·

ῥαστώνη· ἀνάπαυσις· πρείστασις· ἡ=
=συχία· πάντοθεν παρὰ τὸ ῥᾷον.
ὃ σημαίνει τὸ εὔκολον· γίνεται ῥᾷστος.
καὶ ἐκ τούτου ῥαστών· ἡ ἡδυπάθεια.
καὶ ἡ εὐκολία·

ῥάφανον εἰς τὸ ῥέφανον.

ῥαχιάς· κυρίως μὲν πᾶς πετρώδης
αἰγιαλὸς· ῥαχίας καλεῖται· καὶ γῆ
δέ τις ἐν τοῖς μετάλλοις οὕτω κα=
=λουμένη· παρὰ δὲ Σοφοκλεῖ—

β

ῥαχία λέγεται· ἢ τοῦ ὄρους. παρ' ἑτέ-
ροις δέ· ὁ σωδηνδεος τόπος λέγεται.
ῥαχία· παρὰ τὸ ῥάχει ἐοικέναι.
ὅ ἐστι μέρος σώματος. ἢ παρὰ τὸ ῥή-
σω. ἐξ οὗ ὁ δεύτερος ἀόριστος ἔρραγον.
ῥάχις· παρὰ τὸ διαχωρίζειν τὰ
ζῷα ἀπ' ἀλλήλων. τὸ νωτίδιον
μέρος. ἢ ὁ ἄρυβος. ἢ ἡ ἄκανθα τοῦ
νώτου. παρὰ τὸ ἐν αὐτῇ τῇ ῥάχει
προσράσσειν πάντα τὰ πλευρά.
ῥάχις· ἀπὸ τοῦ διερρῶσθαι.

τὸ ρ̄· μετὰ τοῦ ε̄

ῥέα· κατὰ ἐναλλαγὴν ὄνομα θεᾶς.
ῥεγεῦς· καὶ ῥέγος εἰς τὸ ῥῆγος.
ῥέζω· σημαίνει τρία· τὸ πράττω.

γνωδὲ τόδε μέγ' ἄριστον ἐν ἀργείοισιν ἔρεξε.

καὶ τὸ θύω

ἄλλος δ' ἄλλῳ ἔρεξε θεῶν αἰειγενετάων.

καὶ τὸ τῇ χειρὶ καταψῶ.

χειρί τέ μιν κατέρεξε—

καὶ εἰς τὸ ἔργον.
ῥέξας· παρὰ τὸ ἔρδω· τὸ θύω—

καὶ ἐν ὑπερβιβασμῷ. ῥέδω. καὶ τρο-
πῇ τοῦ δ εἰς ζ. ῥέζω δέ.

ῥέθη. τὰ πρόσωπα. διὰ τὸ φαίνεσθαι τὰ ἤθη αὐτῶν.

ῥευστός. ἤγουν ἡ παράδοσις.

ῥαῖδα. ἅρμα. καροῦχα. ῥαίδιον ὁμοίως.

ῥέθη σημαίνει τὰ μέλη.

ψυχὴ δ᾽ ἐκ ῥεθέων —

διὰ τὸ φαίνεσθαι τὰ ἤθη. τῆς ψυχῆς

Αἰολικῶς δὲ ῥέθος. λέγουσι τὸ πρόσωπον.

ῥέεθρα. ῥεῖθρα.

ῥεῖα δὲ ῥαδίως. ἐκ τοῦ ῥέω. ῥέα. καὶ ῥεῖα. ἐκ πλεονασμοῦ τοῦ ι.

ῥεῖα μὲν γὰρ βριάει —

καὶ ῥεῖα. τὸ γὰρ εὐχερὲς γινόμενον ῥεύσει ἔοικεν. ὡς παρὰ τὸ ἠρεμῶ. ἠρέμα. καὶ εἰς τὸ ἔοικεν;

ῥεῖθρον. τὸ ῥέον ὕδωρ. παρὰ τὸ ῥέω. γέγονε ῥεῖθρον. καὶ κατὰ κρᾶσιν τῶν δύο ο εἰς τὴν ει δίφθογγον ῥεῖθρον. διὰ τὸ ῥέειν.

ῥεῖθρον καὶ ῥεῦμα διαφέρει. ῥεῖθρον

μὲν γὰρ ἐστὶν ὁ τόπος, δι' οὗ φέρεται
τὸ ῥεῦμα. ῥεῦμα δὲ αὐτὸ τὸ ὕδωρ.
ῥεῖθρον. διὰ τῆς ει διφθόγγου γράφε-
-ται. παρὰ τὸ ῥέειν γέγονε ῥέεθρον.
καὶ κράσει τῶν δύο ε. εἰς τὴν ει
δίφθογγον ῥεῖθρον. ὁ κανών. ἰστέον
ὅτι τὰ εἰς ον λήγοντα ῥηματικὰ
οὐδέτερα. ἔχοντα τὸ ε ἐν τῇ τελευ-
-ταία. συλλαβῇ. ἰσοσυλλαβεῖ τῷ
ῥήματι.

ῥείτης. παρὰ τὸ ῥέω γέγονε ῥέτης.
καὶ κατὰ συναίρεσιν τοῦ ε. καὶ ι.
εἰς τὴν ει δίφθογγον ῥείτης.

ῥεῖν. τὸ ῥέειν ὡς πνεῖν πνέειν.

ῥεῖος. ὁ ἀσθενής.

ῥέξας πράξας. παρὰ τὸ ἔρδω.
τὸ θύω. καὶ ἐν ὑπερβιβασμῷ ῥέδω.
τροπῇ τοῦ δ. εἰς ζ. δωρικῶς. ὡς
ῥέζω. ὁ ἀόριστος ἔρεξα. καὶ ἡ μετοχὴ
ῥέξας. καὶ εἰς τὸ ῥῆγος.

ῥέζω. σημαίνει τρία. τὸ πράττω.
τὸ θύω. καὶ τὸ ἐν τῇ χειρὶ καταψῶ.

ῥέπω. εἰς τὸ ἀμφιρρεόπους.

ῥέπει· κλίνει. ῥεῦμα. τοῦ ῥέοντος τὸ
ῥεῦμα. καὶ εἰς τὰ ῥεῖθρον.
ῥέφανον. καὶ ῥάφανον. διαφέρει πα-
ρὰ τοῖς Ἴωσι καὶ Ἀττικοῖς. ῥέφανον
μὲν γάρ ἐστιν, ὃ καὶ ἡμεῖς φαμέν.
ῥάφανον δὲ τὴν κράμβην.
ῥήγιον. ἀπὸ τῆς ῥήξεως. ῥαγείσης
τότε τῆς χθονός.
ῥινδία. τὸ ῑ. ὁμοίως.

τὸ ρ̄. μετὰ τοῦ η̄.

ῥηγμίν. εἰς τὸ ἐπὶ ῥηγμῖνι. καὶ
παρὰ θῖνα.
ῥῆγος. τὸ πορφυροῦν περιβόλαιον.
ῥέξαι γὰρ τὸ βάψαι. καὶ οἱονεὶ μετα-
ποιῆσαι. ὅτι δὲ ῥεγεῖς ἔλεγον τοὺς
βαφεῖς. καὶ ῥέγος τὸ βάμμα. βαφὲς
Ἀνακρέων ποιεῖ.
β ἀλλὶ πορφυρονέεγος.
ῥήδην. εἰς τὸ διαρρήδην. καὶ παραβλή-
δην.
ῥιῶ εἰς τὸ φρειν.
ῥικνός. εἰς τὸ ἀρικνιός καὶ ἀρικνῶν.
ῥηξήνορα. τὸν ῥηγνύοντα τὴν ἠνορέην.
τουτέστι τὴν ἀνδρείαν. ἢ τὸν ῥῆξαι τὴν

καὶ πρᾶξαι· τὰ ἠνορέη διωάμενον·
ῥηξήνορι· ἀνδρείῳ· παρὰ τὸ ῥῆξαι
τοὺς ἀνέρας·
ῥήσσω· καὶ ῥήσω· εἰς τὸ ἀρειστήδην
καὶ διαρρήδην καὶ παραβλήδην·
ῥήτρη· εἰς τὸ ῥῆμα·
ῥήσσω· εἰς τὸ σύρραξ·
ῥητορική· διὰ τὸ ῥεῖν τὸν λόγον
ἀφθόνως
ῥήτρα συνθήκη· ὁμολογία· Ταραντῖνοι
δὲ νόμος· οἷον ψήφισμα· οἱ δὲ σύγ:
:γραμμα· καὶ ῥητροφύλακας τοὺς
συγγραμματοφύλακας· παρὰ τὸ
ῥέω ὃ σημαίνει τὸ λέγω·
ῥηξίφλοια· ἐκ τοῦ ῥήσσω· τὸ ῥηγνύω.
γίνεται ῥήσσω·
ῥῆμα· παρὰ τὸν ῥήσω μέλλοντα·
ῥηγμὴν ὁ αἰγιαλός· παρὰ τὸ ῥήγ:
:νυσθαι ἐν αὐτῷ τὰ κύματα·

τὸ ρ· μετὰ τοῦ ι·

ῥῖγος· ἐκ τοῦ φρίσσω· φρῖγος· καὶ
ῥῖγος·
ῥίπτω· τὸ ρι μακρόν· διατί· τὰ εἰς
πτω λήγοντα ῥήματα·

ῥήγεα· βαπτὰ ἱμάτια· καὶ περιβόλαια.
ῥῆξαι γὰρ ἔλεγον οἱ ἀρχαῖοι τὸ βάψαι
ἄλλοι δὲ ῥῆγος· τὸ βαπτὸν μαλλίον ἔλε-
γον.

ῥηντίδων· ἡνίων· χαλινῶν, ἱμάντων.

ῥηνὴ ὀξυτόνως λέγεται· τὸ ἐν συνηθείᾳ
ἀρνίον.

ῥησείδιον· τὸ δει δίφθογγον· καὶ εἰ
μὲν ἀπὸ τῆς ῥήσεως· γενικῆς γίνεται,
γράφεται διὰ τῆς ει διφθόγγου· ὡς
λέξεως· λεξείδιον· εἰ δὲ ἀπὸ ῥήσεος.
διὰ τοῦ ι γράφεται· ὡς λέξιος· λεξίδιον.

ῥιγῶ· ὁ μέλλων ῥιγήσω· τὸ γη· ἢ διατί.
καὶ τὰ διχρόνῳ παραληγόμενα· διὰ
τοῦ η ἔχει τὸν μέλλοντα. ὁ μέσος πα-
ρακείμενος ἔρριγα· ἐνδεῖ τοῦ ἐνερ-
γητικοῦ παρακειμένου· διατί· ὅτε
γὰρ ὁ δεύτερος ἀόριστος· ἐνδεῖ τοῦ
πρώτου συλλαβῇ· τότε ὁ μέσος παρα-
κείμενος ἐνδεῖ· ἔστιν δὲ ὁ δεύτερος
ἀόριστος· ἔρριγον· δὸς χερσὶν· χερσὶν
τοῦ ἔρριγα· οὔτε ἐγὼ ἔρριγον μάχην.
τὸ ὑποτακτικὸν ἐὰν ῥιγῶ· ἐρρι-
γῇς· ἐρριγῇ· καὶ κατ' ἐπέκτασιν
ἐρρίγησαν· ὡς τὸ

Δῶσι πόλιν τροίην εὐτείχεον ἐξαλαπάξαι.

ῥιγῶ· σημαίνει δύο· τὸ ῥιγῶ. ἐκ τοῦ
ῥῖγος· ὃ σημαίνει τὸν φόβον. ἐκ τοῦ
φρίσσω· φρῖγος· καὶ ῥῖγος· τὸ ρι· μα-
κρόν· τὰ γὰρ ῥηματικὰ ἡνίκα ἀπο-
βάλλουσι ~~σύμ~~φωνον· εἰς φύσιν μα-
κρὰν καταβαίνουσιν. οἷον γιγνώσκω.
γινώσκω. καὶ ἕτερον ἐστὶ ῥῆμα.

ῥῖγος. ἐπὶ τοῦ ψύχους. καὶ ἐστὶ
τρίτης συζυγίας τῶν περισπωμένων.
ἧς ὁ μέλλων ῥιγώσω. καὶ ὁ ποιητής.

ἐπεὶ οὐκ ἐφάμην ῥιγῶσαι μὲν ἔμπης.

ἀντὶ τοῦ οὐχ ὑπέλαβον. ὅμως ῥιγῶσαι.
ἀμφότερα ἐκ τοῦ ῥῖγος.

ῥίζῃσι μεγάλῃσι. ῥίζα. δι' ἧς ἔρχεται τὸ
ζῆν ἄνω τοῖς δένδρεσι. ἢ διὰ τὸ
ἔαρον ζῆν. ἢ παρὰ τὸ ἵζω τὸ κα-
θέζομαι. ἵζα. καὶ ῥίζα. τὸ ζα
βραχύ. διατί. τὰ εἰς α λήγοντα
θηλυκὰ παραληγόμενα ἑνὶ τῶν
διπλῶν. ἢ διὰ δύο σσ ἐκφερόμενα.
συστέλλει τὸ α.

ῥίζα. παρὰ τὸ εἶναι αὐτὴν ἐν τῇ
γῇ. καὶ ζῆν. ῥίζαν γὰρ ὅμηρος. τὴν
ὑποκάτω γῆς λέγει. ἐξερχομένης γὰρ

αὐτῆς ἐκ γῆς ἀποθνήσκει· ἤγουν ξηραίνεται.

ῥίζα· παρὰ τὸ ῥεῖν τοῖς φυτοῖς τὸ ζῆν· ἔδραμα· καὶ πυθμὴν ἀπὸ τοῦ ἕζω.

ῥίνας ἡ εὐθεῖα ῥίν· διὰ ῥεῖσθαι δι' αὐτῆς τὰ ὑγρά· παρὰ τὸ ῥεῖν ἄνωθεν· ἤγουν τῆς κεφαλῆς ὑγρά.

ῥίμφα· σημαίνει τὸ ταχέως· παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχος· ὡς παρὰ τὸ κρύπτω· κρύφα· οὕτω· ῥίπτω. ῥίφα καὶ πλεονασμῷ τοῦ μ· ῥίμφα.

ῥῖνος· σημαίνει τὸ δέρμα· παρὰ τὸ ῥίον τὸ σημαῖνον τὸ ἄκρον γέγονε· καὶ γὰρ τὸ δέρμα ἄκρον ἐστί· καὶ οἱονεὶ ἐπιφάνεια τῆς σαρκός.

ῥιπὴ ἄνεμος βλεφάρων· ὁρανή· ὥρα. ἄνεμος· δυστροφή.

ῥινός· εἰς τὸ ἀρνειός· καὶ ῥῖνος καὶ ῥίον.

ῥιπίς· ἐκ τοῦ ῥίπτω ἔρριπται παράγωγον.

ῥίον· τὸ ἄκρον τοῦ ὄρους· ἀκρωτήριον· ἀπὸ τοῦ περιρρεῖσθαι τοῖς

ὄμβροις. καὶ ἀπὸ τοῦ ῥαΐζειν. καὶ λήγειν εἰς ὀξύτητα.

ῥιπή. παρὰ τὸ ῥίπτω γέγονε ῥιπή. καὶ ῥιπίς.

ῥίπτασκον. οὐκ ἔστιν ἰωνικόν. οὐ γὰρ τὸ ε. παραλήγεται. καὶ τινὲς μὲν φασὶν ἀπὸ ἐνεστῶτος αὐτὸ εἶναι. παρῆκται γὰρ ἀπὸ τοῦ ῥιπτάζω. ῥιπτάσκω. ὡς παρὰ τὸ φάζω. φάσκω. καὶ συγκοπῇ ἰωνικῶς ῥιπτάζεσκον. ἢ ὁ ἐν πόλεσι ῥίψας τὰ ὅπλα.

ῥίπτω. ἐστι τὸ πετάζω βαρυτόνως. ῥιπτῶ δὲ τὸ ἐξουθενῶ. περισπωμένως. ἐξ οὗ καὶ τὸ ἐξελεξάμην. παραρριπτεῖσθαι.

ῥίψασπις. εἰς τὸ κληΐς.

ῥιπή. ἐστι κατὰ μὲν τὸν νόμον. ἡ ὥρα. κατὰ δὲ ἀστρονόμους, τοῦ ὀφθαλμοῦ τὸ κάκισμα. ἑξήκοντα οὖν ῥιπαὶ ποιοῦσι στιγμήν. καὶ ἓξ στιγμαὶ λεπτὸν ἕν. καὶ πέντε λεπτὰ. ὥραν μίαν. ὥστε τὸ χιλιοστὸν. ὀκτακοσιοστὸν τῆς ὥρας. ἐστὶ ῥιπή.

## τὸ ρ· μετὰ τοῦ ο.

ῥοδῶν ὄνομα· γένους φυλακοῦ· ἢ ῥόδεια
ῥοαί· αἱ γινόμεναι ῥοαί· τῶν ῥοῶν.
οἱ Αἰολεῖς τὰς εἰς ων λήγουσας γενι-
:κὰς τὰς ἀπὸ τῶν εἰς αι θηλειῶν.
διὰ τοῦ άων προφέρουσιν· οἷον μοῦ-
:σαι μουσάων· οἱ δὲ δωριεῖς διὰ τοῦ
ἐων πύλαι πυλέων.
ῥόδον τὸ ἄνθος· παρὰ τὸ ῥῶδον καὶ
ῥόδον· τὸ τὴν ζωὴν δωρούμενον· διὰ
τῆς εὐωδίας· καὶ ῥόδον κατ' ἀντίφρα-
:σιν τὸ μὴ ὄζον· ἀλλ' εὔοσμον ὄν.
ῥοῖα σὺν τῷ ι· τὸ δένδρον· ῥοὰ δὲ
χωρὶς τοῦ ι· ὁ καρπός.
ῥοιβδῶ· καὶ ἀναρροιβδῶ· τὸ ἀναρροφῶ.
ῥοιβδεῖν· ῥοιβδέω· ὁμοῦ ἢ μετ' ἤχου
σφοδροῦ καὶ ῥοιβδῶ τὸ ἠχῶ.
ῥοῖζος· ἐπὶ ἀνέμου κτυποῦντος·
βρόμος δὲ ἐπὶ πυρὸς καίοντος· καὶ
κτυποῦντος· ἀναρροφᾶν.
ῥομφαία· τὸ ξίφος· παρὰ τὸ ῥομ-
:φῶ· ὃ σημαίνει τὸ κόπτω.
ῥόπαλον· ἀπὸ τοῦ ῥαπίζειν· ἢ

ἀπὸ τοῦ συντρίβειν. καὶ ὅμηρος.

ῥόπαλα. ξύλα ἀπὸ τοῦ ῥαπίζειν ἢ τῇ ῥοπῇ· ὅ ἐστι τῇ φορᾷ ἀλλοιοῦν καὶ συντρίβειν.

ῥυσιφένεια· σημαίνει ἡ λέξις· τὸν πλοῦτον παρὰ τὸ ῥύω καὶ ἄφενος. τουτέστι τὴν τοῦ πλούτου ῥύσιν.

ῥυσιφονεία δὲ παρὰ τὸ ῥύω καὶ τὸ φένω· τὸ φονεύω.

ῥόθιον· σημαίνει τὸ ὁρμητικόν· τὸ ο μικρόν· ἀπὸ τῆς παραδόσεως.

ῥῴδιος· εἰς τὸ ἐρωδιός:

ῥόθος· τὸν ῥόθον· οἱ μὲν ἤκουσαν τὸν ψόφον· ὅθεν καὶ ῥόθιον καλεῖσθαι· τὸ κτυποῦν κῦμα καὶ ῥεῦμα· πλούταρχος δὲ βοιωτὸς ὤν· τὰς ὀρεινὰς ὁδοὺς τὰς στενὰς· καὶ συναντεῖς, ῥοθίους ὀνομάζεσθαι φασί.

ῥοιζηδόν· παρὰ τὸ ῥοῖζος· ῥοῖζος δὲ λέγεται ὁ τοῦ πυρὸς ἦχος· γίνεται ἀπὸ τοῦ πῦρ· πυρὸς· πυρίζω. καὶ συγκοπῇ πυρόιζω· ἢ παρὰ τὸ τρύζω· τρύζος· καὶ ῥοῖζος· τὸ ο μικρὸν διατί· τὰ εἰς ον ἐπιρρήματα διὰ τοῦ ο μικροῦ γράφεται.

πλὴν τοῦ χειρῶν. ἐμποδῶν καὶ ἐκ-
δεξιῶν.

ῥοῖζος. εἰς τὸ ἐρωδιός.

ῥοίζω καὶ ῥόθος. καὶ ῥύζω καὶ ῥοῖζος
ἐκ τούτου δὲ καὶ ῥίζω.

ῥοίτειον τὸ ἀκρωτήριον παρὰ τὸ ῥαΐ-
ζειν καὶ καταλήγειν εἰς ὀξύτητα. ἢ
παρὰ τὸν ῥοῦν τῆς θαλάσσης ὠνόμασται.

## τὸ ρ. μετὰ τοῦ υ.

ῥύβον. εἰς τὸ γεννητός.

ῥύεο. ῥῦσαι. ἐκ τοῦ ῥύω. ὁ παθητι-
κὸς ῥύομαι. ὁ παρατατικὸς ἐρρυόμην.
τὸ δεύτερον ἐρρύου. καὶ τὸ προστακτι-
κὸν ῥύου. καὶ Ἰωνικῶς ῥύεο. εἰώθασι
γὰρ οἱ Ἴωνες τὰ εἰς ου προστακτικὰ
εἰς εο διαιρεῖν. οἷον ποιοῦ. ποίεο.
ἄρχου. ἄρχεο. οὕτως οὖν καὶ ῥύου
ῥύεο.

ῥύεσθαι καὶ ἐρρύσθαι διαφέρει. ῥύ-
εσθαι μὲν τὸ ἐκ θανάτου ἕλκειν. ἐρ-
ρύσθαι δὲ τὸ φυλάσσειν.

ῥυηφενέων. πλουσίων. παρὰ τὸ ῥεῖν
τὸ ἄφενον.

ῥυθμός· ἀκολουθία· τάξις· τύπος· ἐκ τοῦ ῥέω· τὸ ἕλκω· ῥευθμὸς καὶ κατ' ἀφαίρεσιν τοῦ ε· ῥυσμός· καὶ τροπῇ τοῦ σ· εἰς θ· ῥυθμός· ἢ παρὰ τὸ ὀρούω τὸ ὁρμῶ· γίνεται ὀρυσμὸς καὶ ἀποβολῇ τοῦ ο καὶ πλεονασμῷ τοῦ θ· ῥυθμός·

ῥύτειον ἰστέον ὅτι δύο ἀκρωτήριαι εἰσὶ τῆς Τροίας· καὶ ἡ μὲν μία ῥύτειον λέγεται· ἡ δὲ ἑτέρα τὸ σίγειον· εἶχε δὲ τὸ σίγειον ὁ Ἀχιλλεύς· τὸ δὲ ῥύτειον Αἴας. ὅπερ διὰ τῆς ει διφθόγγου· τὰ διὰ τοῦ ειον τρισύλλαβα·

ῥύπος· παρὰ τὸ λύω· λύσος· καὶ ῥύπος τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ τοῦ συμφώνου εἰς σύμφωνον.

ῥυπτικὸν σημαίνει τὸ καθαρτικόν. τὸ θέμα ῥύπτω ἐξ οὗ καὶ ῥύπος. ὁ μέλλων ῥύψω· ὁ παρακείμενος ἔρρυφα. ὁ παθητικὸς ἔρρυμμαι· τὸ τρίτον ἔρρυπται· ῥύπτης ὁ καθαρός. καὶ τὸ κτητικὸν ῥυπτικός· καὶ ῥυπτικόν.

ῥῦσαι με· εἰς τὸ σῶσαι με.

ῥυτοὺς εἰς τὸ γωρυτούς.

ῥύω· παρὰ τὸ λύω· τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον· καὶ εἰς τὸ ἐρρυμνῶσθαι.

## τὸ ρ̄ · μετὰ τοῦ ω̄.

ῥῶ εἰς τὸ ἀριστίνδην· καὶ ἄριστος. καὶ ἄριστον. καὶ διαρρήδην· καὶ εἰρῆσθαι καὶ ἐρράγη. καὶ ἐρρώσθαι· καὶ ἔρρωται· καὶ εὔτρα καὶ σύρραξ.

ῥῶ· εἴρηται παρὰ τὸ ῥέω. ὑγρὰ καὶ εὐμάλακτα· καὶ ὥσπερ ἔλαιον ἔτι ἐν τοῖς μέτροις. τὰ ἀμετάβολα.

ῥωδῶ· εἰς τὸ κατορρωδηκότα.

ῥώμη· ἡ ὑγεία. παρὰ τὸ ῥῶ τὸ ὑγιαίνω. ὁ μέλλων ῥώσω· ὁ παρακείμενος ἔρρωκα· ὁ παθητικὸς ἔρρωμαι· καὶ ἐξ αὐτοῦ ῥώμη ἡ ὑγεία. σημαίνει δὲ καὶ τὴν πόλιν· καὶ εἰς τὸ ἀνδρεία.

ῥῶσις· ἡ ὑγεία ἐστίν· ἐκ τοῦ ἀρρωστία. κατὰ στέρησιν ὑγείας. καὶ ἡ δύναμις καὶ τὸ ῥωμαλέον.

ῥωννύω· τὸ δύναμιν παρέχω. ὁ μέλλων οὐκ ἔχει· ποιεῖ δὲ τὸ παράγωγον εἰς μι. καὶ ἄχρι τοῦ παρατατικοῦ κλίνεται. ἐξ οὗ καὶ ἐπιρρωννύω.

ῥωμαῖος· ὡραῖος· κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσιν αὐτοῦ διὰ τοῦτο εὐλόγησεν αὐτὸν εἰς τὸν αἰῶνα· περιζώννυται γὰρ τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὡς δυνατός· τῇ ὡραιότητι καὶ τῷ κάλλει αὐτοῦ ἐντείνεται καὶ κατευοδοῦται καὶ βασιλεύει ἐκ θεῶν.

ῥωχάζειν· παρὰ τὸ ῥοχεῖν παρῆκται ἢ παρὰ τὸ ῥέγχω.

ῥωφεῖν ὕδωρ

# Ἀρχὴ τοῦ Σ στοιχείου

## τὸ Σ. μετὰ τοῦ Α

Σαβῆκας

Σαγήνη· ἀπὸ τοῦ ἔσω ἄγειν γίνεται ἐσαγήνη· καὶ ἀποβολῇ τοῦ ε· σαγήνη. γράφεται γὰρ διὰ τοῦ η.

Σαθρός· χαῦνος· ἀσθενής· κεκλασμένος. παρὰ τὸ σταθῆναι σταθρός· καὶ σαθρός. κατ' ἀντίφρασιν· ἢ παρὰ τὸ σεί-εσθαι ῥαδίως· ἢ ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα· καὶ εἰς τὸ σαπρόν.

Πόθεν σαπρὸς παρὰ τὸ σεσημμένα ἔχειν τὰ ἄρθρα.

Σαβαθά· τοῦτο κυριακόν ἐστι τὸ ὄνομα· ὃ ἑρμηνεύεται λινιαῖον ἄν-τλημα παρὰ Ἀσκαλονίων· ἔστι δὲ ξέστων κβ· παρά τισι· καὶ παρ' ἄλλοις ιη· καὶ τὸ ὀκτωκαιδέκατον τὸ μέγα, ξέστων ιη· τὸ δὲ ἐν τασ-σάρων.

Σαίρειν εἰς τὸ ζάκορος

Σακελλάριος· σύρεισι· ἐπιδέχεσθαι

σάκελλα γάρ τό δέχεσθαι εἴρηται.

Σάκκος· ἀπό τοῦ σάσσω· ὃ σημαίνει
τό στρώνω· γίνεται ὁ μέλλων σάξω.
καί τοῦ παθητικοῦ παρακειμένου σέ-
σακται τό τρίτον καί ἐξ αὐτοῦ σακτός.
καί τροπῇ τοῦ τ εἰς κ· σάκκος.

Σάκκος· παρά σάσσω· τό φορτῶ.

Σάκος ἀπό μεταφορᾶς τοῦ σάκεσι.
σάκες γάρ ἔθνος θρᾴκης· οἳ ταύτην
ἐφόρουν· καί εἰς τό πολεμικόν.

Σαλεύω· εἰς τό ἐσκαλευκότες.

Σαλήμ· εἰς τό ἱερουσαλήμ.

Σάλος· παρά τό ἅλς· ἁλός.

Σάλπιγξ· ἐκ τοῦ σαλπίζω· τοῦτο
παρά τό ἕπω τό λέγω· ἕψω· ἀποβο-
λῇ τοῦ ω· ἕψ· καί τροπῇ τοῦ ε
εἰς ο· ὄψ· ὀπός· ὀπίζω· καί μετά
τοῦ σέλας· ὃ σημαίνει τήν λαμπρό-
τητα τοῦ πυρός· ἤγουν λαμπηδόνα·
γίνεται σελαπίζω· καί ἐν συγκοπῇ
καί ὑπερβιβασμῷ· σαλπίζω.

Σανίς παρά τό τείνω· τό τανίω·
τανίς· καί σανίς· τό ἐπίμηκες ξύλον

Σαλαμίνη· ὅπερ ἐστὶν εὐθεῖα. διὰ τοῦ η.
ἐπὶ δὲ τῶν λοιπῶν πλωϊκῶν, τὰ δύο
τ. Σαλαμῖνος γὰρ δικατάληκτος. ἐν
Σαλαμῖνι. φησὶ δὲ Σαλαμὶς. Σαλαμὶς
δὲ ἦν πρὸ τῆς Ἀττικῆς. ὅθεν ἦν Αἴας
ὁ τελαμώνιος. Σαλαμίν. Σαλαμίνιος.
Σαλαμῖνος. ὄνομα νήσου.

Σάλπιγξ. παρὰ τὸ σαλπίζω. τοῦ-
-το παρὰ τὸ σέλας. καὶ τὸ ὀπέζω.
οἱ γὰρ ἀρχαῖοι μήπω σάλπιγγας
χρώμενοι. πολεμίων πλεῖστοι χιβάν-
-των ἄφνω τὴν πόλιν αὐτῶν, διὰ
φλογὸς καὶ καπνοῦ τοὺς ἐπικουρίους
ἐκάλουν

Σάζω. εἰς τὸ σάκος.

Σάκος. τὸ δόρυ. ἀπὸ σάκων τῶν προσ-
-τον ὠρεόντων. ἡ ἀσπὶς τῶν ὅπλων.

Σαπρόν. δυσῶδες. σηπτικόν. ἔστι.
σήπτω. σήψω. ὁ δεύτερος ἀόριστος.
ἔσαπον. καὶ ἐκεῖθεν σαπρόν. κατὰ
πλεονασμὸν τοῦ ε. καὶ τροπῇ τοῦ-
-π τοῦ π. εἰς θ. γίνεται σαθρόν.

Σαλάμβη. ἡ θρεῖς. ἡ ἀεὶ ἐν σάλῳ

ὄυβα. ἢ παρὰ τὸ δι' αὐτῆς ἀνβαίνειν. τὸ βέλος. ὅτι φῶς.

Σαράβαρα. ἐσθὴς περσική. ἔνιοι δὲ λέγουσι βρακία. ἄλλοι δὲ περὶ τὰ σκέλη ἐνδύματα.

Σάρδις ἡ πόλις. ὥσπερ γὰρ παρὰ τὸ πόλιες. καὶ ὄφιες γίνεται πόλις καὶ ὄφις. κατὰ κρᾶσιν τοῦ ι. καὶ ε. εἰς ι. οὕτω καὶ παρὰ τὸ σάρδιες. γίνεται σάρδις. κατὰ κρᾶσιν τοῦ ι. καὶ ε. εἰς ι. δηλονότι μακρόν.

Σάρδις. καὶ ἡ πόλις. καὶ οἱ πολῖται. καὶ λέγουσι τινές. τί οὖν καὶ οἱ πολῖται σάρδις λέγονται, καὶ ἡ πόλις. καὶ μὴν σαρδιανοὶ λέγονται. πῶς οὖν φησὶ καὶ οἱ πολῖται. καὶ ἡ πόλις. ἔστιν οὖν εἰπεῖν. ὅτι οὐκ εἶπε σάρδις λέγονται καὶ οἱ πολῖται. καὶ ἡ πόλις. ἀλλ' ὅτι διὰ τοῦ ι. ἐστιν ἡ γραφή.

Σάρω. εἰς τὸ ζάκορος.

Σάρωθις. ἡ φιλοκάλλυθις.

Σαρωνίς. ἡ δρῦς. διὰ τὸ σεσηρέναι. ἢ σαρωνίς. διὰ τὸ ἐξ αὐτῶν σωροὺς γίνεσθαι.

Σατὴν· μόδιος· βουλάτος· ὡς εἶναι ξέστων
ν̄· καὶ ἄλλως· ταὐτὸν καλεῖται· καὶ ἐξ
αὐτῆς τῆς ἑβραΐδος μετειληφθέν· ἑλ-
-ληνικῶς μὲν ἐκφωνούμενον· ἐν δὲ τῇ ἑλ-
-ληνίδι ὕδεως·. τὸ γὰρ Σάτον μόδιον ἐστι
βουλάτον.

Σαρακηνός· σαπρός· καινός· διὰ παν-
-τὸς γὰρ ἡ σαπρία· νέος εὑρίσκεται.
οὐ τελευτᾷ γὰρ αὐτοῦ ἡ πονηρία.
σαπρὸς γὰρ μὲν· τῆς δούλης γέγονε.
σαπρὸς ἦν τῷ πάλαι δικαίῳ· γνωρίσαι
τὴν δούλην· καὶ κατελθῦναι παρ' αὐ-
-τῆς· ἐξ ἐπιτροπῆς γὰρ τῆς σάρρας.
πρὸς τὸν Ἀβραάμ τοῦ γενέσθαι με-
-τὰ τῆς δούλης· διὰ κούσιν βρέφους,
ἐτέχθη ὁ ἰσμαήλ· ὁ ἀεὶ πρὸς τῇ
ἀμεταβλήτῳ πονηρίᾳ· ἀκούμενον
καθιστῶν τὸν κόσμον· ἡ δὲ Σάρρα
ἐξ ἐπαγγελίας τῆς ἁγίας τριάδος.
συνέλαβε· καὶ εὐλογήθη καὶ αὐτὴ καὶ
τὸ ἐξ αὐτῆς τεχθὲν· πρὸ τῆς κυή-
-σεως αὐτῆς· ἐν τῇ ἐπαγγελίᾳ τῆς
συλλήψεως αὐτοῦ.

Σάββω· εἰς τὸ βάκος.

Σαυρωτήρ· ξυστὸν δόρυ· ἢ ὁ στύραξ,
ὃν ἔνιοι οὐρίαχον καὶ σαυρωτῆρα καλοῦ-
σιν· ὅπου ἐμπήγνυται τὸ σιδήρειον τοῦ
δόρατος· παρὰ τὸ σαυροῦσθαι καὶ
ὀρθοῦσθαι· σαυρωτὴρ εἷς ὤν· οἱ δὲ
αὐτὸ τοῦτο τὸ σιδήρειον· στύρακα κα-
λοῦσιν· ἔστιν εἶδος δένδρου ὁ στύραξ.
οὗ ὁ καρπὸς ὁμωνύμως λέγεται στύ-
ραξ· λέγεται δὲ σαυρωτήρ· καὶ ἡ τοῦ
δόρατος ἀρχή· ἐφ' ἧς στηρίζεται.
Σάφα· σαφῶς ἐπίρρημα μεσότητος.
διατί βαρύνεται. ὅσα ἐν ὀ. . . .
καθέστηκε πληθυντικὰ βαρυτόνων
ὀνομάτων· ταῦτα μετάγονται εἰς
ἐπιρρηματικὴν σύνταξιν· βαρύνεται
οἷον ταχέα· τάχα· σαφέα· σάφα.
ὠκέα· ὦκα· πλὴν τοῦ θαμέα θαμά.
Σαφέα· εἰς τὸ πρῶτα.
Σαφῶς· ἐκ τοῦ σαφής· τοῦτο ἐκ τοῦ
σαφῶ τὸ ἑρμηνεύω· τοῦτο ἐκ τοῦ
σοφός· τοῦτο ἐκ τοῦ σέβω· σεβός· καὶ
σοφός· τὸν γὰρ σοφὸν πάντες σεβόμε-
θα.

Cάω· εἰς τὸ τιμῶ.

Cαώτερος· παρὰ τὸ σάος· σαώτερος τὸ συγκριτικόν.

Cαώτερος· ὁ σῶος· καὶ ὑγιής· ἔστι ῥῆμα σάω τὸ ὑγιαίνω· καὶ παράγωγον σάω· ἐξ οὗ ὄνομα σάος· ἐξ αὐτοῦ σαώτερος. τὸ δὲ σόος εἴρηται· παρὰ τὸ σέβειν τὸ ὁρμᾶν καὶ κινεῖσθαι.

τὸ C̄· μετὰ τοῦ β̄.

Cβεννύω· εἰς τὸ κεραννύω.

Cβῶ· εἰς τὸ σπήλαιον.

τὸ C̄· μετὰ τοῦ Ε̄.

Cεδεκὴ· εἰς τὸ μελχισεδεκή.

Cειλινός· ὁ γέρων· παρὰ τὸ εἴρω· ὃ σημαίνει τὸ λέγω· σειρινός· καὶ μεταθέσει τοῦ ρ̄· εἰς λ̄· καὶ τοῦ η̄· εἰς ῑ· σειλινός· ἢ παρὰ τὸ σείεσθαι λίαν· καὶ σιληνός ὁ διόνυσος· παρὰ τὸ σείεσθαι ἐν τῷ ληνῷ· σιληνός δὲ ὁ σαλός, ἐκ τοῦ σιλαίνειν τοῦ φλυαρεῖν.

Cειληνός· σειληνοὶ λέγονται οἱ γέροντες τῶν σατύρων· γράφεται δὲ διὰ τῆς

ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ σει-
ταλαι· αὐτοὺς περὶ τὸν δῦσον· ἢ πα-
ρὰ τὸ σεσηρέναι καὶ χαίρειν· γέγο-
νε σερεινός· προσθέσει τοῦ ι· καὶ
τροπῇ τοῦ λ· σειλινός.

Σεῖο· εἰς τὸ σοῖο.

Σειρά· ἡ πλοκὴ διὰ τῆς ει διφ-
θόγγου· τοῦτο παρὰ τὸ εἴρω τὸ
σημαῖνον τὸ συμπλέκω· γέγονεν εἰ-
ρά· καὶ ἐν πλεονασμῷ τοῦ σ· σει-
ρά· οἱ δὲ Δωριεῖς διὰ τοῦ η γρά-
φουσιν αὐτὸ σηρά· καὶ ἐκ ~~τούτου γνω-
ρίζεται δίφθογγον ἔχειν~~· ὅτι πέπον-
τες· λέγεται δὲ καὶ εἰς τὸ ἐνεργές.

τούτου γνωρίζεται δίφθογγον ἔχειν

Σείριος· παρὰ τὸ εἴρω τὸ σημαῖ-
νον τὸ λέγω· γέγονεν εἴριος· καὶ
ἐν πλεονασμῷ τοῦ σ σείριος· οἱονεὶ
ὁ λέγων καὶ μηνύων τὸν καιρὸν
τοῦ θέρους· ἢ παρὰ τὸ σεσηρέναι·
γέγονε σέριος· καὶ ἐν πλεονασμῷ
τοῦ ι· σείριος· σεσηρέναι γὰρ καὶ
χαίρειν ποιεῖ· ὁ σείριος ἀστήρ —

καύματος ὢν αἴτιος.

Σείριος· ὁ ἥλιος· οἱονεὶ τείριος·
κατὰ τροπὴν τοῦ σ. εἰς τ. ἐπει-
δὴ τείρει καὶ καταπονεῖ ἡμᾶς τῷ
καύματι· ἢ ὅτι ἀποσείει ἡμᾶς καὶ
κενοῖ ἐκ τοῦ ἱδρῶτος. οἱονεὶ ζεί-
ρια· ὁ ἐκζέων ἡμᾶς καὶ θερμαίνων
ταῖς ἀκτῖσι

Σειρομάστης· ἐκ τοῦ σείρω καὶ τὸ
μαστίζω.

Σειρομάστης· σκεῦος λογχοειδὲς ἔχον
ὄγκινον τινὰ σεσηγμένον αὐτῷ· ᾧ
χρῶνται νῦν μάλιστα τελῶναι. ὡς
τὸ ἐρευνᾶν δι᾽ αὐτοῦ τὰς πήρας τῶν
φορτίων· τῶν ἐμπόρων. τοῦ γνῶ-
ναι τίνα ἐστὶν ἀποκείμενα· τοῖς
φορτίοις· ἔνθεν καὶ σειρομάστης ὠνό-
μασται· ἐκ τοῦ τὰ φορτία ὡς εἴ-
ρηται τῶν ἐμπόρων μαστίζειν δι᾽ αὐ-
τοῦ. τουτέστιν ἐρευνᾶν.

Σείω· παρὰ τὸ σέω γέγονε, σείω.
γὰρ προσθέσει τοῦ ι· καὶ εἰς τὸ
σείοντα. καὶ τιμή.

Σέκρετον παρὰ τὸ σέκειν τὰς κρίσεις.

Σέβας. ἐκ τοῦ σέβω.

Σείσαχθος. ἐκ τοῦ σείω. καὶ τοῦ ἄχθος. ἀποβολὴ τοῦ βάρους. ἐκ μεταφορᾶς τοῦ κοσκίνου. ὡς ἐκεῖνο ἀποβάλλει τὸ βάρος.

Σέλας. φῶς. λαμπηδόνα. λαμπρότητα. τὸ φῶς τῆς σελήνης. παρὰ τὸ σαλεύεσθαι τὴν πνοήν.

Σέλας. παρὰ τὸ σείω τὸ ὁρμῶ. καὶ τὸ σέλη ὃ σημαίνει τὴν λαμπηδόνα. παρὰ τὸ σεύεσθαι ἐξ αὐτῆς τὴν ἕλην. καὶ ὁρμᾶν. ἢ παρὰ τὸ ἕλη ὃ σημαίνει τὴν λαμπηδόνα. ἕλας καὶ σέλας. καὶ εἰς τὸ ἥλιος. καὶ λάμπω καὶ σάλπιγξ. καὶ.

Σελήνη. ἡ ἄρτεμις. σέλας. νέον. εἴρηται παρὰ τὸ σέλας. ἀέναον ἔχειν. ὅθεν καὶ ἐνιαυτός ὁ ἔνος. ὁ ἀεὶ νεάζων. οὕτως Ἡρακλείδης.

Σελήνη. σέλας νηπιάζων. παρὰ τὸ σέλας ὃ σημαίνει τὸ φῶς. καὶ τοῦ νη στερητικοῦ. ἢ ἡ ἐστερημένη τοῦ σέλας.

Σελήνη· ὄνομα κύριον βασιλίσσης Σκυ:
:θῶν.
Σελήνη· διὰ τὸ ἐν νυκτὶ φαίνειν. σέ:
:λας γὰρ οἱ παλαιοὶ τὸ φῶς ἐκάλουν.
Σεισάχθεια· χρεῶν ἀποκόμματα.
οἱ Ἀθηναίων πένητες· δανεισάμε:
:νοι ποτὲ παρὰ τῶν πλουσίων·
καὶ ἀποροῦντες, ἠναγκάσθησαν
μισθοῖς αὐτοῖς δια πελάζειν καὶ
ἀγωνιᾶν.
Σέλινον· παρὰ τὸ ἐν ἕλει σείεσθαι.
ἤγουν ὁρμᾶν. ἕλιον καὶ σέλινον.
Σέλινον προ - - σέλινον διὰ
τοῦ ῑ· γράφεται. οἱ γὰρ Αἰολεῖς
σέλλιν λέγουσιν. οὕτω καὶ τὸ μίλλος.
μίλλος· σέλινον κυρίως λέγεται. τὸ
ἐξ ἕλους σειόμενον.
Σέλευκις εἶδος ὀρνέου.
Σελίς. εἰς τὸ σέλμοιο.
Σελμῶν. ὄνομα βάρβαρον. ἀπὸ τοῦ
ἕλκω. ὅτι σημαίνει τὸ ἑλκύσω. γί:
:νεται ὁ παρακείμενος εἷλκα. ὁ
παθητικὸς εἷλμαι. καὶ ἐξ αὐτοῦ
εἱλμός. καὶ ἀποβολῇ τοῦ ῑ ἑλμός.

ἑλμῶν· καὶ πλεονασμῷ τοῦ σ σελμίς· ἢ ἀπὸ τοῦ ἐλαύνω ἐλμίς· καὶ σελμίς.

Σέκουνδος· δεύτερος.

Σεμέλη· ὄνομα κύριον· παρὰ τὸ σέλας μέλλειν· ἤγουν φροντίζειν· σέλας γὰρ σημαίνει τὴν ἀστραπήν· παρὰ τοῦ Διὸς γὰρ ᾐτήσατο μετ' ἀστραπῆς καὶ βροντῶν συγγένεσθαι αὐτῇ.

Σεμέλη· θεός. θεμελίς. θεμελίς τις οὖσα. θέμελις ἡ γῆ προσαγορεύεται. διὰ τὸ ἐν αὐτῇ πάντα καταθεμελιοῦσθαι· καὶ κατ' ἐναλλαγὴν τοῦ θ εἰς τὸ σ σεμέλη.

Σεμίδαλις· ἐκ τοῦ σέλας· ὃ σημαίνει τὸ λευκόν· σελίδαμίς τις οὖσα. καὶ παρ' αὐτοῦ ἐποίησαν.

Σεμνῶς· ἐπίρρημα· ἀπὸ τοῦ σεμνὸς ὄνομα· ὅπερ γέγονεν ἀπὸ τοῦ σεβνός· καὶ τροπῇ τοῦ β εἰς μ σεμνός. σημαίνει δὲ τὸν θαυμαστὸν καὶ ἄξιον ἐντροπῆς. καὶ τὰ ἄρρητα καὶ τὰ ἀνεξέταστα σεμνὰ λέγεται. καὶ
β. παρὰ Λυκόφρονι δέ.

σεμνῶς καθωρεύσσα, κοιλανεῖ δόμους.
καὶ εἰς τὸ ἄσεμνος· καὶ γυμνός.
Σέσηπεν ἐκ τοῦ σήπω. ἢ ἔσαπον.
γίνεται παρὰ τὸ σής· σητός· ὅ
ἐστιν εἶδος σκώληκος· σήπω. κλίνε-
ται σής· σητός· ὁ κανών· τὰ εἰς
της ὀνόματα μονοσύλλαβα εἴ μεν
ὀξύνονται. διὰ τοῦ τος κλίνονται.
κρής· κρητός· κρῆτες· κρητῶν.

Ἀμφὶ δέ μιν κρητῶν ἀγοὶ —
θής. θητός ὁ μισθωτός· θῆτες·
δμῶές τε. βλής· βλητός· βλῆτα.
καὶ ἄβλητα πτερόεντα. εἰ δὲ πε-
ρισπῶνται ἀποβολῇ τοῦ σ κλί-
νονται· οἷον δεῖς· δεῖ· ἀπὸ γοῦν
τοῦ σής· σητός· σήθω· καὶ σήπω.
Σέσηκα· εἰς τὸ ἐπέσσυτο.
Σεύεσθαι· εἰς τὸ πανσυδίῃ.
Σεύω εἰς τὸ δεόσος· καὶ λασίοισι
καὶ νοσσιά· καὶ περισσῶς καὶ σέλας.
Σέω· εἰς τὸ τιμή.

τὸ σ· μετὰ τοῦ η·

Σηγῶε· ὄνομα τόπου· ἐκ παραδόσεως

διὰ τοῦ η· κατὰ δὲ τὴν ἐτυμολογί
:αν διὰ τοῦ ι· καὶ γὰρ ἑρμηνεύεται
μικρά· ἢ ταπεινή· ἤγουν σιγῶν.
ὁ γὰρ ταπεινὸς ὁ μὴ δυνάμενος
καθ' ἑαυτὸν σιγᾷ.

Σήθω· εἰς τὸ συσσείοντες.

Σῆμα· εἰς τὸ σῶμα.

Σημεῖον· τὸ ἀγνοουμένου πρᾶγμα
σημαίνει· σημεῖον τέρατος διαφέρει.
σημεῖον ἐστί· τὸ ἐπὶ γῆς γινόμενον.
τέρα τὸ ἐν τῷ ἀέρι.

Σημεῖον καὶ τεκμήριον διαφέρει.
ὅτι τὰ μὲν παρῳχηκότα σημεῖα
πιστοῦσθαι δεῖ τὰ μέλλοντα τεκ:
:μηρίοις· καὶ εἰς τὸ τέρας.

Σῆμα· σημαίνει τρία· τὸ σημεῖον.
καὶ τὸν τάφον. καὶ τὴν σφραγῖδα.

Σημεῖον τὸ σῶον μὴ ὄν· ἀλλ' ὑπόμ:
:νημα σύσσημον ὂν τοῦ τιθέντος.

Σέλη παρὰ τὸ σέλας· ἢ ὁ σείων
καὶ ἐκπέμπων τὰς ἀκτῖνας· ἢ
ἐπειδὴ σειρικὸν λέγεται τὸ ἐρυθρὸν

χρῶμα. ἡ δὲ χροιὰ τοῦ ἡλίου ἀνατέλλοντος. τοιαύτη ἐστί.

Σείριος. καλεῖται οἱονεὶ εἴριος. ὁ εἴρων καὶ προλέγων τοῖς γεωργοῖς ἰδιότητα.

Σήπω. παρὰ τὸ Σῆς. ὃ σημαίνει τὸν σκώληκα. ὅπερ κλίνεται σητός. καὶ ἐξ αὐτοῦ σήτω. καὶ σήπω. καὶ εἰς τὸ σέσηπε.

Σηκός. ἀποβολὴ τοῦ τ̄. στηκὸς γάρ ἐστι σταθμός. σηκὸς δὲ λέγεται οἱονεὶ στηκός τις ὤν. ἀπὸ τοῦ ἵστασθαι αὐτοῦ τὰ θρέμματα. ἔνθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν. σηκὸν λέγουσι τὸν ναόν. ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὸ ἄγαλμα.

Σηκός. οἱονεὶ στηκός τις ἐστι. πρὸς ὃ στήκουσιν ἐνωχούμενοι. παρὰ τὸ ἵστημι. στήσω. στηκός. καὶ σταθμός. καὶ παρ' αὐτῷ ἐστι τὸ στῆναι.

Σήμερον ἐκ τοῦ ἡμέρα. ἥμερον καὶ σήμερον. τὸ σῆ π̄. καὶ τὸ μερ. φιλόν. ζήτει τὸν κανόνα ἐν τοῖς ἐπιμερισμοῖς.

Σήμερον οἱ Δωριεῖς σάμερον ἔλεγον.
ἐπίρρημα καιροῦ παραστατικόν.

Σήκευτον· οἷον καὶ ἀτάραχον· καὶ δι-
-γῆς σεμνόν.

Σήραγγες· αἱ ὑπὸ γῆν ὑπομήκεις
ἐκρήξεις· οἷον καὶ φλέβες τινὲς οὖσαι
τῆς γῆς· ἃς ὑποτρέχει τὸ ὕδωρ
ζητεῖ διέξοδον ἐντεῦθεν· σηραγγώδης
τόπος εἴρηται· ὁ διατετρημένος· ἀπὸ
τοῦ σεσηρέναι· καὶ διαστρέφεσθαι.

Σηραγγώδει· ἐκ τοῦ σήρω τὸ τραχύ-
-νω.

Σήραγξ· ὁ βαθὺς καὶ κρημνώδης τό-
-πος· γίνεται δὲ παρὰ τὸ εὔσσω· τὸ
διακόπτω· σύραγξ· καὶ ὑπερβιβασμῷ
σήραγξ· τοῦτο δὲ ἐκ τοῦ ἔω τὸ φθεί-
-ρω· εὔσσω· ὡς βῶ· βάζω.

Σής· ὁ σκώληξ· παρὰ τὸ σῶ· τὸ
κινῶ· ὁ μέλλων σήσω· ἀποβολῇ τοῦ
ω· σής· καὶ ἴψ· διαφέρει δὲ ἴψ· σής·
καὶ θρίψ· ὅτι θρὶψ μέν ἐστι σκώληξ
ἐσθίων τὸ ξύλον· σὴς δὲ ὁ τὰ ἱμάτια·
ἴψ δὲ ὁ τὰ κέρατα· καὶ τὰς ἀμπέλους

βλάπτων. καὶ εἰς τὸ μωυσῆς. καὶ σέση
:πε. καὶ σήπω.

Σῆσις. ἢ κοσκίνησις.

Σῆσι. ταῖς σαῖς. διατί ἐκτείνε
:ται διὰ τοῦ ι. ἐπειδὴ πᾶσα
δοτικὴ πληθυντικὴ. πρὸ τοῦ ι.
ἔχει τὸ σ. ἢ δυνάμει. ἢ ἐνεργείᾳ.
ἐνεργείᾳ μὲν. λέβητι. λέβησι.
ἄσσι. δυνάμει δὲ κόρακι. κόραξι.
Φοίνικι. φοίνιξι. πέλοπι. πέ
:λοψι. ὅθεν τὸ ἀτρείδαις καὶ
καλοῖς. καὶ σοφοῖς. μὴ ἔχοντα πρὸ
τοῦ ι. τὸ σ. ἢ δυνάμει ἢ ἐνεργείᾳ.
διὰ τοῦτο ἐπεκτάνθησαν. διατί
τὸ ι. ἔτρεψαν. ἵνα εὑρεθῇ τὸ
σ. πρὸ τοῦ ι. σικάνιος καὶ τὸ
α. εἰς η. αἱ τοιαῦται δοτικαί.
εἴτε ἐπεκτεινόμεναι εἶσιν. εἴτε
ἀνεπέκταται.

Σῆς. ὑπὸ χερσί.

Σῆτες. εἰς τὸ ἴψ.

Σητός. εἰς τὸ σέσηπε καὶ σήπω.

Σιών. εἰς τὸ σιών.

τὸ Σ. μετὰ τοῦ Θ.

Σθένος. παρὰ τὸ σθένω ῥῆμα. τὸ δύναμαι. ἐξ οὗ καὶ ἐπιτεθὸν οὐ σθέ:νει βέ. σθένει δὲ τῇ δυνάμει. καὶ εἰς τὸ ξένος.

τὸ Σ. μετὰ τοῦ Ι.

Σιαγών. παρὰ τὸ σίω. καὶ τὸ ἄγω. τὸ φέρω. καὶ τὰ εἰς γῶν ὀνόματα. τρέπουσι τὸ ω. εἰς ο ἐπὶ γενικῆς. Σιαγόνος. παρὰ τὸ σείεσθαι αὐτὰς ἄγαν ἄνω καὶ κάτω.

Σιαγῶνες. οἱονεὶ ὅτι σείονται πε:ριαγόμεναι. καὶ συνάγονται. αἵ εἰ:σι ὑποκάτω τοῦ γένους. οἱ δὲ παρὰ τὸ σιγῶν σιαγών. ἀπὸ τοῦ τὰ σιτία ἄγνυσθαι διὰ ὀδόντων.

Σιγᾶν. εἰς τὸ ἡσυχάζειν.

Σιγῶ. διὰ τοῦ Ι. ἐπειδὴ. παρὰ τὸ σιγή ἐστιν. ὡς τιμή. τιμῶ. καὶ ἄλλως. τὸ σιγή. διὰ τοῦ Ι. γράφεται. ἐπειδὴ τὰ εἰς γη οὐ θέλει τῇ ει. παραλήγεσθαι. οἷον πηγή. πεσουγή.

Σίγα· εἰς τὸ ὑπόδρα.

Σιγῇ· ἐπίρρημα μεσότητος. προσγράφεται τὸ ι. τὰ γὰρ παρὰ τὴν δοτικὴν γινόμενα ἐπιρρήματα, ἔχουσι τὸ ι προσγεγραμμένον.

Σιαγόνες· παρὰ τὸ τὰ σιτία ἄγειν τουτέστι τρίβειν.

Σιγηλός· παρὰ τὸ σιγῶ. γέγονε σιγήσω· τροπῇ τοῦ ω· εἰς η· καὶ σιγηλός.

Σίδηρος· ἀπὸ τοῦ ῥαδίως τὸν ἰὸν ἐφέλκεσθαι. ἄμεινον δὲ εἰς ἰῶν κρῆσιν ἐπιτήδειον ὤν. ὅπερ ἐστὶ βέλτιον. σίδαρος δὲ λέγουσιν οἱ Δωριεῖς.

Σῖτος· ἀπὸ τοῦ κατὰ τὸ λιπῶς γινομένης σιλισμοῦ· ὅ ἐστι σωρηχείας.

Σικελός· σικελιώτου διαφέρει· σικελὸς μὲν γάρ ἐστι· ὁ ἐξ αὐτῆς τῆς νήσου τῆς Σικελίας ὤν· σικελιώτης δὲ ὁ σικελὸς μὲν μὴ ὤν· τὴν χώραν αὐτὴν οἰκήσας οἰκῶν.

Σικελός· σικελιώτου διαφέρει. Σικελοὶ μὲν εἰσι οἱ ἐν τῇ Σικελίᾳ

οἰκοῦντες βάρβαροι. Σικελιῶται δὲ οἱ ἀπὸ ἑλλήνων πόλεως μετοικήσαντες.

Σίκιμα. ὄνομα τόπου. ἀπὸ παραδόσεως. τὰ δύο ι.

Σίκλος. ἄρεον τὸν σίκλον τὸν ἅγιον ἐν τοῖς ἀριθμοῖς. οὕτω λυτρώσει. φησί τὸ πρῶτο τόνου πάντε σίκλων.

Σίλφιον. σκ . . . μελισσοῦντες. σιμαὶ γὰρ αἱ μέλισσαι.

Σίμβλα. παρὰ τὸ σίτα βάλλειν.

Σίμβλοι. ἐν οἷς βάλλουσι τὰ κηρία αἱ μέλισσαι.

Σίμβλος. εἰς τὸ αἴσχυλος.

Σινά. ὄνομα ὄρους. ἀπὸ τοῦ ἴσου σημαίνει τὴν δύναμιν. ἰνά. καὶ πλεονασμῷ τοῦ σ. σινά. ὅτι ἐκεῖ ἡ τοῦ νόμου δόσις.

Σίνηπι. παρὰ τὸ σίνεσθαι τοὺς ὦπας. ἤγουν βλάπτειν τοὺς ὀφθαλμούς.

Σίντιες. οἱ λήμνιοι σκώληκες—

ἀπὸ τοῦ σίνεσθαι καὶ βλάπτεσθαι.
Σίνω· εἰς τὸ ἐρυσίβη· καὶ ζιζάνιον.
Σισόη· ὄνομα θηλυκόν· πληθυντικῶς
αἰτιατικῆς· ἡ εὐθεῖα· ἡ σισόη· τῆς
σισόης· ἀπὸ τοῦ σίω· σιςὸς· καὶ
σιςή· καὶ κατὰ παραγωγὴν σισόη.
Σισύρα· ἡ γοῦνα· αἴγειον ςέγαςρον
τετριχωμένον· τουτέςι βάκος· ὅ
ἐςι δέρμα· πολλάκις δὲ καὶ τὸ
τραχὺ καὶ ἄγναπτον ἱμάτιον·
ὡς καὶ Ἀριςοφάνης· ἐν πέντε σι- β
-σύραις.
Σισύρα· καὶ σισύρνα διαφέρει·
σισύρα μὲν γάρ ἐςι τὸ ἐξ αἰγείων
δερμάτων τετριχωμένον· σισύρ-
-να δὲ τὸ ἐκ τῶν βοειδίων ἐῤῥαπ-
-τόμενον ἀμπεχόνιον.
Σίτλα· σκύφος· κρατήρ· κισσύβιον.
Σίσυφος εἴρηται οἱονεὶ σιόσοφος·
ὁ ἔχων ἐκ τῶν σιῶν τουτέςι
τῶν θεῶν τὴν σοφίαν· σισύφους
τοὺς θεοὺς λέγουσι Λάκωνες· σιοὺς
ὑπὸ τῶν σιῶν τουτέςι τῶν

θεῶν σοφός· σίσωφος εἴρηται· καὶ
κατ' ἀποβολὴν τοῦ ω̄· καὶ μετὰ τοῦ
ἄλλου υ· σίσυφος:

Σίγμα· σιμάτιον· τὸ ὂν ὑπόσιμον·
τὰ γὰρ σίγματα δὴ ὑπόσιμα· ἢ πα-
ρὰ τὸ σιμόν τινα ποιεῖν τῇ φωνῇ·
ἢ ὅτι πυρωθεὶς ὁ σίδηρος· ἐπὰν
εἰς ὕδωρ βληθῇ· ἀπήχημα ὁμοίως
τῇ ἐκφωνήσει τοῦ γράμματος δηλοῖ·
ὁ δὲ στοῖχος φθόγγος τοιοῦτος ἐστί·
λέγουσι ὅτι κατ' εἰκόνα τῆς β̄·
σιγματοειδὴς γὰρ ἡ β·

Σιτοδεῖα· σημαίνει τὸν λιμόν· πα-
ρὰ τὸ σῖτος καὶ τὸ ἔνδεια· καὶ
κατὰ συγκοπήν· σιτοδεῖα·

Σῖτος· ὡς παρὰ τὸ ἐργάζομαι· ἐρ-
γάτης· καὶ κατ' ἀποβολὴν τοῦ
σ̄· ἐργάτις ἐν βαρείᾳ τάσει·
καὶ παρὰ τὸ οἴω· γίνεται οἶσος·
καὶ μετ' ἀποβολὴν τοῦ σ̄· γίνε-
ται· οἶνος· οὕτω καὶ παρὰ τὸ σεί-
ω γέγονε σεῖσος· καὶ κατ' ἀποβο-
λὴν τοῦ ε̄· εἰς σ̄· γίνεται σῖτος·

Σιτώνης· ὁ ἀγοράζων τὸν σῖτον. κλίνεται σιτώνου· ὁ κανών· τὰ γὰρ διὰ τοῦ ωνης ὀνόματα μονογενῆ· εἰς ου ἔχει τὴν γενικήν. πανώλης· πανώλου· μονογενῆ εἶπε. διὰ τὰ ἔχοντα οὐδέτερα.

Σιρὸς ὁ λάκκος· ἐκ τοῦ σύρω· κατὰ τροπὴν τοῦ υ· εἰς ι· ὡς ἀφροδύτη ἀφροδίτη.

Σιπύη· ἡ ἀρτοθήκη οἱονεὶ σιτοθήκη τις οὖσα.

Σκαρδαμύττειν· πυκνὰ τοὺς ὀφθαλμοὺς κλείειν καὶ ἀνοίγειν· ἢ παρὰ τὸ σκαίρειν· τὸ κινεῖν· τὴν συνεχῆ κίνησιν τῶν βλεφάρων· ἢ παρὰ τὸ μύω· τὸ καμμύω.

Σίφλος· ὁ ψόγος· καὶ σιφλὸς ὁ ἐπίψογος.

Σιφλῶσαι· ἡ λέξις νεωτέρων· καὶ οἱ μὲν κακῶσαι· οἱ δὲ μωμητὸν ποιῆσαι· οἱ δὲ γέλωτα ποιῆσαι. Σφᾶν γάρ ἐστι τὸ σεμᾶν. ὅθεν καὶ οἰνόφλυξ· οἱ δὲ παλαιοὶ τὸν εἰδεχθῆ.

Σίδων· διὰ τοῦ ῑ· παρὰ γὰρ τὸ
σίζω τὸ ἦχον ἀποτελῶ γέγονε·
σίφων· σίζων·

Σιών· τὸ ὄνομα τῆς πόλεως· διὰ
τοῦ ῑ· σηὼν δὲ τὸ ὄνομα τοῦ βασι-
λέως· διὰ τοῦ η̄·

Σιωπῶ· ἐκ τοῦ ὄψ ὃ σημαίνει τὴν
φωνήν· τὸ δὲ σιγῶ· παρὰ τὸ σίζω
τὸ κτυπῶ· κατ' ἀντίφρασιν καὶ
τὸ ω̄ μέγα· διατί· τὰ παρὰ τὸ
ὠχὴ· καὶ ὠπὴ γινόμενα ὀνόματα.

Σιωπή

—— ἀκὴν ἐγένοντο σιωπῇ·

καὶ ἔστιν ἐπίρρημα μεσότητος. σι-
ωπῇ τὸ ω̄ μέγα. τὰ ἀπὸ ἐνεστώ-
των ἢ μελλόντων γινόμενα.

Σιωπῶ. τὸ ω̄ μέγα· ἐκ τοῦ σιωπή
τοῦτο ἐκ τοῦ σιγῶ· σιγωπὴ καὶ
ἐκβολῇ τοῦ γ̄· γίνεται σιωπή· καὶ
ἔστιν ὁ κανὼν τοῦ ω̄· ὥσπερ τὸ
θαλπωρή· καὶ τὰ ὅμοια. τὸ
δὲ σιωπὴ· γίνεται παρὰ τὸ σιγὴ
καὶ τὸ ὄπα· ὃ σημαίνει τὴν φω-
νήν· τὸ δὲ σιγὴ· τὸ σι. μακρόν·

ὡς παρὰ τῷ ποιητῇ.

βῆ δὲ καλυψαμένη. ἐανῷ ἀργῆτι φαεινῷ.

σιγῇ ——

τὸ δὲ σιωπή καὶ σιωπῶ ῥῆμα. οὐκ

ἀπὸ τοῦ σιγή καὶ τοῦ ὄπα γρά-

φεται τὸ ω. ἀλλ' ἀπὸ τοῦ σιγῶ

φυλάχθη τὸ ω μέγα. ὥσπερ ἡ πα-

ράδοσις.

τὸ σ. μετὰ τοῦ κ.

σκάζω. εἰς τὸ προσκαθεζόμενον.

καὶ σκαιός. καὶ σκάνδαλον. καὶ σκο-

λιός.

σκαιός ὁ ἀπεχθής. τὸ και δίφ-

θογγον. ὁ κανὼν τὰ διὰ τοῦ

αιος ὀνόματα δισύλλαβα τριγενῆ

διὰ τῆς αι διφθόγγου γράφονται.

οἷον φαιός. λαιός. σκαιός. πλὴν

τοῦ θεός. γίνεται ἐκ τοῦ σκάζω.

τὸ χωλαίνω. ἢ σκάζω τὸ μὴ ὀρ-

θῶς βαδίζω. ἐξ οὗ καὶ σκαμβὸς

ὁ μὴ ὀρθῶς βαδίζων. σκαιός καὶ

σκαιός. σκαιός γὰρ ἔχει ἡ ἀριστερὰ

χεῖρ πρὸς τὰς πράξεις. κατὰ

δὲ τρεῖς τρόπους λέγεται. σκαιόν.
σκαιαὶ πύλαι. αἱ τῆς ἰλίου. αὗται
δὲ σβέδανοι προσηγορεύοντο. δι' ὧν
τεκεῖς εἰς τὸ πεδίον οἱ τρῶες.
σκαιαὶ δὲ εἴρηνται. ἢ ἀπὸ σκαιοῦ
τοῦ δημιουργήσαντος αὐτάς, καὶ
κατασκευάσαντος. ἢ ὅτι ἐν τοῖς
σκαιοῖς ἤγουν ἀριστεροῖς μέρεσι
κεῖνται. σκαιὰ γὰρ τὰ ἀριστερά.
ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπών.

εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε·
εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα.

ἢ παρὰ τὸ σκαιῶς βεβουλεῦσθαι
τοὺς τρῶας. τὸν γὰρ δούρειον ἵππον
κατ' αὐτὰς ἐδέξαντο τὰς πύλας
σκαιός. ὁ ἀμαθής. παρὰ τὸ σκάζειν.
τῇ μαθήσει πρὸς τὸν διδάσκαλον.

Σκαιότης ἡ ἀπάτη.

Σκρινιάριοι. οἱ χαρτοφύλακες
τῶν βασιλέων. σκρινίαι δὲ αἱ
ἄρκλαι. σκρίνιον γὰρ δρυφάντι-
κον λάρνακα καλοῦσιν οἱ ῥωμαῖοι.

Σκαίρω· χορεύω· ὀρχοῦμαι· ὅτι
ἀντιφαίνει τὸ ᾱ ἐν τῷ μέλλοντι
σκαρῶ· τοῦτο ἐκ τοῦ σπείρω· τοῦ=
=το ἐκ τοῦ σπῶ· καὶ εἰς τὸ καρίς.

Σκαλεύω· εἰς τὸ σκαλεύω πότες.

Σκάλλω· εἰς τὸ ἔσκαλλον.

Σκαλμοῖσι· τοῖς σκαρθμοῖς· ἀπὸ
τοῦ σκαίρω γίνεται σκάρμος· καὶ
πλεονασμῷ τοῦ θ· σκαρθμός·
ἐκ δὲ τοῦ σκαρθμός γίνεται τὸ
ὑποκοριστικὸν σκαρμίς· καὶ τρο=
=πῇ τοῦ ἀμεταβόλου εἰς ἀμε=
=τάβολον σκαλμίς.

Σκαμάνδριος· τὸ δρι· τ· ὡς τὸ
κάπριος· ἐκ τοῦ σκάμανδρος
ὃν ξάνθον καλοῦσι· δίψει γάρ ποτε
κατασχεθεὶς ὁ ἡρακλῆς· καὶ σκάψ=
=ας εἰς τὸ πλουσότερον ἐποίησεν
ἐκφέρεσθαι· καὶ διὰ τοῦτο σκά=
=μανδρος ἐκλήθη· διὰ τὸ καμάτου
καὶ πόνου παραίτιον· ἤγουν διὰ
τὸ ἐσκάφθαι ὑπ' ἀνδρός· ξάνθος
δὲ ἐπειδὴ ἐκεῖ λουσάμεναι αἱ θεαὶ

ξανθὰς ἔχον τὰς κόμας· ὁπότε πρὸς ἀλέξανδρον ἧκον· ἕνεκα κάλλους πειθόμεναι.

Σκάμβος· καμβή· ἡ διεστραμμένη. παρὰ τὸ σκαιῶς βαίνειν. ἢ παρὰ τὸ σκάπτω· τὸ κατορύσσω. σκαμβή· ὁ γὰρ διεστραμμένος πολλὰ κατορύσσει κατὰ τοῦ πλησίον.

Σκάνδαλον· παρὰ τὸ σκάζω· ὃ σημαίνει τὸ χωλαίνω. λέγεται δὲ καὶ σκάνδαλον· ἡ διαστροφή· ἢ σκανδαλῆθρα.

Σκάνδαλον· παρὰ τὸ σκάζειν τὴν ἀλήθειαν.

Σιάραντον· τὸ σίκλον ἐστὶ τὸ τέταρτον τῆς γο̅ ἤγουν εἰς α΄.

Σκάρος ὁ ἰχθύς· παρὰ τὸ σκιάζεσθαι ῥαδίως· ἢ διὰ τὸ σκάζειν τῷ δρόμῳ.

Σκάφος· παρὰ τὸ σκάπτω· σκάψω. ἔσκαφα· ἐξ αὐτοῦ σκάφος· ἀπὸ μεταφορᾶς τῶν σκαπτομένων καὶ γενομένων βαθέων.

Σκαφίδιον· ὅτι σκάπτειν ἐκάλουν τὸ πλεῖον· ἢ διὰ τὴν κοιλότητα. σκαφείδιον· ἐκ τοῦ σκαφεύς· σκαφέως· σκαφεῖον· σημαίνει δὲ τὸ [illegible]. σκαφεῖον δὲ τὸ ἐργαλεῖον.

Σκελίζω· τοῦτο παρὰ τὸ σκέλος. τοῦτο παρὰ τὸ κέλευθος· ὃ σημαίνει τὴν ὁδόν· πλεονασμῷ τοῦ σ̅. σκέλευθος. καὶ ἐν συγκοπῇ σκέλος. δι' αὐτοῦ γὰρ τὴν ὁδὸν τελειοῦμεν. ὅ ἐστι βαδίζομεν.

Σκεδάζω· εἰς τὸ ἀνεσκέδασε. καὶ διεσκέδασε.

Σκεδῶ· εἰς τὸ ἀγαθόν.

Σσκεδάζω· ἐκ τοῦ σκεδιάζω· τοῦτο ἐκ τοῦ παράχρημα τι ποιῶ. ἢ παρὰ τὸ σχίζω τὸ χωρίζω. τὸ σχεδαθὲν εἰς πολλά. σχέλος. καὶ σκέλος. ἀπεσχισμένα γάρ εἰσι ἀπ' ἀλλήλων.

Σκέλλω· σημαίνει τὸ ξηραίνω. μὴ πρὶν μένος σκελοῖο σκείλῃ. καὶ σκελετὸς ἀποξηραμένος. καὶ εἰς τὸ σκληρός.

Σκέπτεσθαι· εἰς τὸ σκήπτεσθαι.

Σκέπω παρὰ τὸ σκέθω τὸ κωλύω.
καὶ τροπῇ τοῦ χ̄. εἰς π̄. καὶ τοῦ
θ̄. εἰς π̄. σκέπω.

Σκάζω. εἰς τὸ σκευωρεῖσθαι.

Σκηνή. εἰς τὸ προσκήνιον.

Σκήπτεσθαι καὶ σκέπτεσθαι. τινὲς μὲν
ταὐτὸ ἐνόμισαν εἶναι. ἀλλὰ διαφέ-
ρουσιν αἱ λέξεις. σκήπτεσθαι μὲν γὰρ
τὸ προσβιβάζεσθαι. σκέπτεσθαι δὲ
συμβουλεύεσθαι τι.

Σκηπτός. ἀπὸ τοῦ κάειν καὶ ἅπτειν.

Σκέλη. ἐκ τοῦ παρὰ τὴν χίσιν.

Σκηνή. Δωρικῶς γὰρ σκανὴ ἔλεγον.

Σκῆνος. οἰκητήριον σῶμα. παρὰ
τὸ σκηνὴν εἶναι τῆς ψυχῆς οἰκητή-
ριον.

Σκίμποδος μικρὸν κλινάριον.

Σκῆψις. πρόφασις. ἀναβολή. ἀπὸ
τοῦ σκέψασθαι τὸν προφασιζόμενον.

Σκῆπτρον. ἐστὶν ἡ βακτηρία. πα-
ρὰ τὸ σκηρίπτεσθαι. καὶ ἐπερεί-
δεσθαι ἐν αὐτῇ.

Σκηπτοῦχοι. σκηπτοφόροι. βασιλεῖς.
τὰ παρὰ τὸ ἔχω συντιθέμενα

εἰ μὲν διφθόγγῳ· παραλήγονται· πρὸ
μιᾶς ἔχει τὸν τόνον· λαμπαδοῦχος
ὀφιοῦχος· εἰ δὲ ἐν φωνήεν παραλή-
:γει· προπαροξύνεται· ἔνοχος· πά-
:ροχος μέτοχος· ὅμηρος.

Σκῦπτρον γίνεται ἐκ τοῦ σκύπτω
τὸ ἐπικυμβίζω· καὶ σημαίνει δύο
τὸ ἐπικυμβίζω· καὶ προσφαβίζο-
:μαι· ἐξ οὗ καὶ σκῦψις· ἡ προσφα-
:βισις.

Σκία· παρὰ τὸ κίω· τὸ πορεύ-
:ομαι· ἡ συμπορευομένη· καὶ μὴ
ἐῶσα ἡμᾶς.

Σκίπων ἡ ῥάβδος· δωρικῶς γὰρ
σκάπτρον.

Σκῦψις· ἡ ἐκ μελέτης ψευδομαρ-
:τυρία· παρὰ τὸ σκύπτω τὸ προ-
:σφαβίζομαι· καὶ εἰς τὸ ἐπέσκηψεν.

Σκίμπους· παρὰ τὸ σκηνή καὶ
τὸ πούς· ποδός σκηνόπους· καὶ
κατὰ συγκοπήν· σκίμπους· ἔστι
δὲ μέρος τι τοῦ κραββάτου· μετα-
:φορικῶς δὲ λέγεται, ὅλος ὁ κρά-
:βατος.

Σκίμπους· ψωρεῖς τοῦ ν καὶ ἀρτίπυς.

Σκιπνός. καὶ σκιφνός. ὁ μικρολόγος. παρὰ τοὺς σκνῖπας. διὰ τὴν τούτων σμικρότητα.

Σκληραγωγία. ἄσκησις στενωτάτη. θλῖψις. παρὰ τὸ στενῶ. καὶ σκληρῶς ἄγεσθαι.

Σκληρός. παρὰ τὸ κλῶ μονοσύλλαβον. ὅπερ ἐστὶν ἀπὸ τοῦ σκέλλω. τὸ ξηραίνω. σκῶ. σκύσω. σκληρός.

Σκίπες. εἶδος μικροῦ κώνωπος πετομένου. ἔστιν ἡ εὐθεῖα σκνίψ. σκιπός. σκνῖπες. καὶ ἐκ τούτου εἴρηται σκιπός. ὁ μὴ δὲ μικρόν τι θέλων ἀπολέσθαι. καὶ εἰς τὸ σίξ.

Σκολιά. παρὰ τὸ σκολιός.

Σκολιός. παρὰ τὸ σκάζω. τὸ χωλαίνω. ὃ περὶ τὴν βάδισιν. χωλαίνων. ὁ μὴ εὐθεῖαν ὁδὸν πορευόμενος. ἀλλὰ διεστραμμένον. ἢ παρὰ τὸ σκαιός. ἢ παρὰ τὸν σκόλοπα. ὃ σημαίνει τὸ ἀποξυσμένον ξύλον.

Σκόλοπες. εἰς τὸ ἀνασκολοπισθῆναι.

Σκόλοψ. παρὰ τὸ κολάπτω κόλαξ. ἢ παρὰ τὸ σχίζω σχόλοψ. καὶ σκόλοψ. τὸ ἐσχισμένον καὶ ἀποξυσμένον ξύλον. σκόλοψ. ἡ ἄκανθα.

Σκορακίζω. εἰς τὸ ἀπεσκοράκισε. καὶ ἀπεσκορακίσθη.

Σκορπίζω. ἐκ τοῦ σκορπιός. τοῦτο παρὰ τὸ ἰόν. σημαίνει δὲ τὸ ἄστρον. ἔστι ἀπὸ τῆς ὁμοιώσεως. ὁ πανταχοῦ σκορπίζων. ὁ σκορπιὸς δέ, σημαίνει τρία. τὸν χερσαῖον. καὶ γίνεται παρὰ τὸ σκορπίζειν τὸν ἰόν. σημαίνει δὲ καὶ τὸ ἄστρον. ἔστι ἀπὸ τῆς ὁμοιώσεως τοῦ χερσαίου δείκνυται. ἐπειδὴ ὅτε ὁ ἥλιος ἐν αὐτῷ ἐστι. τότε τὰ σπέρματα ἐπὶ γῆς σκορπίζομεν. σημαίνει δὲ καὶ τὸν θαλάσσιον. καὶ γίνεται παρὰ τὸ πλήττειν. καὶ τὸν ἰὸν ἐπιβάλλειν. ἢ παρὰ τὸ σκαιῶς ἕρπειν. τὸ δὲ

σκορπίζω γίνεται παρὰ τὸ καρπὸν καρπίζω· καὶ τροπῇ τοῦ ᾱ· εἰς ō καὶ πλεονασμῷ τοῦ σ̄· σκορπίζω·

Σκορπιός· διὰ τὸ σκορπεῖν τὴν οὐράν· ἢ παίειν· ἤγουν κρούειν. καὶ εἰς τὸ σκορπίζω·

Σκὸς εἰς τὸ πωκαζέμεν·

Σκόρας· παρὰ τὸ τὰς κόρας οἰδαίνειν·

Σκοπός· ἡ ἔννοια· καὶ ὁ νοῦς· παρὰ τὸ σκέπτεσθαι· σημαίνει δὲ τέσσαρα· σκοπὸς ὁ νοῦς· σκοπὸς καὶ ὁ κατάσκοπος ἄνθρωπος· σκοπὸς καὶ τὸ σημεῖον· καὶ ὁ τόπος· ᾧ πάντες στοιχοῦσι. καὶ ἀκολουθοῦσι· σκοπὸς καὶ ὁ ὑψηλὸς καὶ δύσβατος τόπος· ἐξ οὗ καὶ τὸ σκοπιά·

Σκορακισμός· ὕβρεις· ἐξουδένωσις·

Σκότος· παρὰ τὸ ἐκτὸς φωτὸς εἶναι· σκιάν·

Σκιάδιον· τὸ καμιλαύκιον·

Σκιρτῶ· παρά τό σκαίρω· τό πηδῶ.

Σκότος· παρά τό σχέθω τό κωλύω· κωλυτικόν γάρ τοῦ φωτός. καί εἰς τό αὐγή.

Σκυθίζειν· σπαράττειν· ἐκ τοῦ σκύθης· ὁ σπαρακτικός· καί ὀργίλος· οἱ γάρ σκύθαι ἀνδραποδισταί ὄντες καί λησταί· ἠνδραπόδιζον καί ἠχμαλώτιζον.

Σκυθία· χώρα· ὅτι ἐν σκυθίᾳ καί εἰς τά ἀρκτῷα μέρη· οὐδόλως κεραυνός ἐμπίπτει· φυλάττεται δέ ἀπήμαντος ἀπό κεραυνοῦ· ἐν μέν φυτοῖς· δάφνη· καί συκῆ· καί γάρ ἡλίῳ ταῦτα· ἐν δέ πετεινοῖς ἀετός· διός γάρ εἶναι νενόμισται· ἐν δέ ὑγροῖς· φώκη· ἡ φώκη δέ ὡς ἀπήμαντος ἐπιβουλῆς· μάρτυς ἡ πεῖρα παραδέδωκε· τῶν γάρ νηῶν τά ἱστία· ἐν οἷς οἱ βασιλεῖς πλέουσι φωκείοις εἰώθασι διφθεροῦσθαι δέρμασι.

Σκρίνια· χαρτοφυλάκιον τῶν βασιλικῶν χαρτῶν. σκρίνιον γὰρ τὴν σεόφρακτον λάρνακα ῥωμαῖοι λέγουσι.

Σκουτάριον· σκοῦτον καλοῦσι ῥωμαῖοι τὸ ἰσχυρὸν ἅμα καὶ ἰσχνόν. ἀραιὴς μὲν ἐστὶν ὡς ἰσχνή. καρτερωτάτη δὲ καὶ ταῖς πληγαῖς οὐκ ἐνδιδοῦσα. καὶ ἰσχυρά.

Σκύβαλον. τὸ δι' ἐντέρων ἐκδιδόμενον ἢ κόπρος· οἷον σίβαλόν τι. ἢ κυνοσίβαλον· κυσίβαλον τὸ τοῖς κυσὶ βαλλόμενον καὶ διδόμενον.

Σκυδμαίνειν· τὸ σκυθρωπάζειν· καὶ ὀργίζεσθαι. κυρίως. ἐπὶ τῶν λεόντων καὶ λεαινῶν· ἐπὶ τοῖς ἀφαιρουμένοις σκύμνοις ὀργιζομένων. ἀπὸ οὖν τοῦ σκύμνος. καὶ τοῦ μαίνειν· γίνεται σκυδμαίνειν. ἢ ἀπὸ τῆς εἰς τὸ πρόσωπον συστολῆς. τοῦ σκυνίου τῆς ὀφρύος τοῦ ὀφθαλμοῦ. ὅ ἐστι δέρμα. ὃ συμαίνει ἐπὶ τῶν ὀργιζομένων.

Σκύζω· εἰς τὸ γυμνὸς καὶ σκύμνος.

Σκυθρωπός· στυγνός· ἔνθεν καὶ σκυ-
θρωπάσαι· πλεονασμῷ τοῦ ρ̄.
σκυθρωπάσαι παρὰ τοῖς σκύθαις.
οἵτινες ὀργιλώτατοι ὄντες· τὸ
ἐπισκύνιον· ὅ ἐστι τὸ δέρμα τοῦ
προσώπου καθέλκουσι· τουτέστι
συστέλλουσι.

Σκυθρωπός· παρὰ τὸ χύτρα καὶ
τὸ ὤψ· ὃ σημαίνει τὸν ὀφθαλμόν.
γίνεται χυτρωπός· καὶ πλεονασ-
μῷ τοῦ σ̄· καὶ τροπῇ τοῦ χ
εἰς κ· σκυθρωπός· ὁ ἀφανὲς πρό-
σωπον ἔχων· ἢ παρὰ τὸ σκύζω
τὸ ὀργίζομαι· ἢ παρὰ τὸ σκυθι-
κοὺς ὦπας ἔχειν.

Σκῦλον σημαίνει τὸ ἀπὸ τοῦ
πολέμου συναγόμενον λήϊον· παρὰ
τὸ σῦλον καὶ σκῦλον· τὸ ῡ μακρόν
ἀπὸ τοῦ συλῶ.

Σκύμνος· παρὰ τὸ σκύζω· τὸ ὀρ-
γίζομαι· τὸ δὲ σκύζω πόθεν·
σκύνιον λέγεται ἡ ὀφρύς· καὶ ἐξ
αὐτοῦ σκυνίζω· καὶ σκύζω.

Σκρινιάριος· ὁ τὴν καταγραφὴν

τῶν ἐξεταστέων ἐν τοῖς σκρινίοις
διαφυλάττων.
Σκυβαλίζω· τὸ ἀπορρίπτω. καὶ
ἀποσκυβαλίζω· τὸ ἀποβάλλω.
Σκύμνος· καὶ σκυμνός· διαφέρει.
σκύμνος λέγεται τὸ τοῦ λέοντος
γέννημα. σκυμνὸς δὲ τῶν ἄλλων
ζώων.
Σκότος· ἀπὸ τοῦ σκιάζειν ὠνό-
μασται. οἱ δὲ φασὶν. ὅτι σκοπός
ἐστι. δεῖ προσκοπεῖσθαι τὸ προσ-
ερχόμενον αὐτῷ. οὕτως Ἡρωδιανός.
οἱ δὲ παρὰ τὸ χέειν ἡμᾶς. ὅ
ἐστιν ἐπιχεῖν προϊέναι πολλάκις.
Σκύταλα· τοὺς τροχοὺς. ῥαβδωτούς.
παρὰ τοῖς Ἀττικοῖς. ἡ σκυτάλη
βασιλείαν σημαίνει. καὶ ὄφεως
δὲ τὸ εἶδος οὕτω καλούμενον. καὶ
παρὰ Λακεδαίμονας ἐπὶ βασι-
λείας τάσσεται. καὶ σκυταλίδες
καμπῶν εἶδος. ὅ ἐστι ζῶον τι πα-
ρὰ τοῖς Ἀλεξανδρεῦσι. καὶ εἶδος
καρίδων. καὶ σκεῦος τὸ ἐν τῇ νηΐ.
καὶ σκυταλουμένη ξύλα τυπτουμένη·

Σκύλαξ. ἐκ τοῦ σκύλω τὸ ὀργίζο-
-μαι.
Σκῦλον. ἐμπόδιον.
Σκυτίνας. περιζώματα. ἀπὸ λώρων
παρὰ τὸ σκῦτος. ὅ ἐστι δέρμα.
Σκῦτος δὲ λέγεται. τῶν τενόντων
τοῦ τραχήλου δέρμα. ὡς πετρώ-
-νιος φησί. τινὲς φασὶ σκυτάος λέ-
-γεται τὸν νωτιαῖον μύελον. οἱ
δὲ τὸ ἰνίον. οἱ δὲ. τὸν μεταξὺ
τῶν ὀφρύων καὶ τοῦ μετώπου
τόπον. ὅπερ ἐπισκύνιον καλούμενον.
ἄλλοι δὲ τὸ τῆς κεφαλῆς δέρμα.
παρ' ὃ καὶ σκῦτος εἴρηται. του-
-τέστιν ἡ κεφαλή
Σκοτόμαινα ἡ νύξ. ἐν ᾗ μαίνεται
καὶ ἀνατάσσεται τὰ οὐράνια.
Σκωλήκων. εἰς τὸ ἴψ.
Σκῶμα. γελοίου ἢ τραπελισμοῦ
καὶ γεφυρισμοῦ διαφέρει. σκῶμα
μὲν γάρ ἐστι. τὸ ἐπὶ διασυρμῷ
τοῦ πέλας λεγόμενον. οἷον καὶ σκέμ-
-μα. γελοῖον δὲ τὸ ἐπὶ διαχύσει
τῶν ἀκροωμένων χωρὶς τινός.

ὕβρεως. εὐτραπελισμὸς δὲ τὸ μετὰ
σεμνότητος χαριέντως λεγόμενον.
εἴρηται γὰρ παρὰ τὸ εὐτρέπεσθαι
τὸν λόγον. γεφυρισμὸς δὲ ἀπὸ
τοὺς ἐν ταῖς Ἀθήναις ἐπιγράφειν
τινὰ ἐπὶ τῶν γεφυρῶν μέτρα.
διασυρμοὺς τινῶν περιέχοντα.
Σκώπτω. τὸ λοιδορῶ.
Σκώληξ. παρὰ τὸ κῶλον. ὃ ση-
μαίνει τὸ ὀστοῦν. ὁ ἔχων ὀστοῦν.
κατὰ δὲ ἀντίφρασιν ὁ μὴ ἔχων
ὀστοῦν. οὐ γὰρ ἔχει ὁ σκώληξ ἐν
ἀληθείᾳ ὀστοῦν.

### τὸ Σ. μετὰ τοῦ Μ.

Σμαραγῶ. ἐκ τοῦ σμάραγος. ὃ
σημαίνει τὸν ψόφον καὶ ἦχον. γίνε-
ται δὲ ἀπὸ τοῦ σπαράσσω. σπάρα-
γος. καὶ κατὰ τροπὴν τοῦ π. εἰς
μ σμάραγος. κυρίως δὲ λέγεται σμά-
ραγος. ὁ ἀπὸ σπαραγμοῦ ἦχος.
λοιπὸν ἐκ τοῦ σμάραγος γίνεται
σμαραγῶ καὶ περισπᾶται. κανὼν
γὰρ ἐστιν ὁ λέγων. ὅτι τὰ εἰς γ

λήγοντα. τὰ ᾱ παραληγόμενα
περισπῶνται. χωρὶς εἰ μὴ παρὰ
πρόθεσιν συντέθη. οἷον σφαρα-
-γῶ. σφαραγεῦντο δέ οἱ πυρί·
πλαταγῶ· χερσί τε συμπλατάγησεν.
ἀγῶ τὸ θαυμάζω. τὸ θηλυκὸν
ἄγη. ἄγη μὲν ἔχει ὄρχαμε λαῶν.
οὕτως οὖν καὶ σμαραγῶ. παρὰ πρό-
-θεσιν συντέθη. διὰ τὸ συνάγω.
σμαραγεῖ δέ γε λειμών.
ἀντὶ τοῦ ψοφεῖ καὶ κτυπεῖ. χω-
-ρὶς εἰ μὴ ἀπὸ προθέσεως συντε-
-θῇ. τὸ συνάγω καὶ προσάγω.
ἔστι δὲ καὶ ἕτερον σμαραγῶ.
καὶ σημαίνει τὸ λάμπω. ἐξ οὗ
καὶ σμάραγδος ὁ λαμπρότατος
λίθος. τοῦτο γίνεται παρὰ τὸ
μαίρω τὸ λάμπω. ὁ μέλλων
μαρῶ. καὶ ἐξ αὐτοῦ κατὰ παρα-
-γωγὴν μαράσσω. καὶ πλεονασ-
-μῷ τοῦ σ. σμαράσσω. καὶ ὄνο-
-μα ῥηματικὸν σμάραγδος ὁ λαμ-
-πρότατος καὶ τὸ ῥῆμα σμαραγῶ

τὸ λάμπω· γίνεται δὲ ἄλλο ῥῆμα
ἐκ τοῦ μέλλοντος. ἔστι ῥῆμα μα-
ίρω καὶ κατὰ παραγωγὴν μαρύ-
σω· καὶ κατὰ ἀναδιπλασιασμὸν
μαρμαρύσσω· καὶ ῥηματικὸν ὄνομα
μαρμαρυγή· καὶ ὅμηρος.

μαρμαρυγὰς θηεῖτο ποδῶν —
σημαίνει δὲ καὶ ἄλλο ῥηματικόν·
Ἀμαρύσσω· καὶ ἀμάρυγμα· ὅμηρος.
Σμερδαλέος γίνεται παρὰ τὸ σμερ-
δνόν· τοῦτο ἐκ τοῦ μερίζω· μεριδνός.
καὶ συγκοπῇ σμερδνὸς καὶ ἐξ αὐτοῦ
σμερδναλέος· καὶ ἀποβολῇ τοῦ ν.
μερίζεται γὰρ ἡ ψυχὴ τῶν ὁρών-
των τῷ φόβῳ· δῆλον δὲ τὸ κατα-
πληκτικόν· καὶ οὐκ ἐᾷ ἐν τῷ αὐτῷ
μένειν· διατὶ ἢ προπαροξύνεται.
Τὰ διὰ τοῦ αλεος ὑπὲρ τρεῖς
συλλαβάς· πρὸ μιᾶς ἔχουσι τὸν
τόνον· οἷον ἀργαλέος· γηραλέος·
σμερδαλέος· πλὴν τεσσάρων.
κονισάλεος· δαδάλεος· ἀπαθάλεος
αἰθάλεος.

Σμωσπορά. παράγωγον τοῦ σμῶ. ἅμα γὰρ τὸ καταβληθῆναι τὴν σποράν, δείξει τὸ πλῆγμα. ἐκ τοῦ σμῶ τοῦ σημαίνοντος τὸ πλήσσω. ἐξ οὗ καὶ σμήχω κατὰ παραγωγήν. καὶ μακρὸν εἰς μακρὸν σμώχω. σμώξω. καὶ σμῶδιξ. ἢ ἐκ τοῦ σμῶ. σμήσω. σμώδιον ὄνομα ῥηματικόν. ἔστι δὲ τὸ δι βραχύ. ἐπειδὴ οὐδέποτε τὸ ι. καὶ υ. πρὸ τοῦ ξ εὑρίσκονται φύσει μακρά. χωρὶς εἰ μὴ λόγω ἀρχούσης. σπείρω σπερῶ. ὅσα γὰρ γεννῶσι τὸ ι. τὴν τοῦ ε. ἔχουσι γραφήν.

Σμῆνος. τὸ πλῆθος. ἐκ τοῦ σμῶ τὸ σωρεύω.

Σμῆνος. παρὰ τὸ νῶ. ὃ σημαίνει τὸ συνάγω. ὁ μέλλων νώσω. καὶ πλεονασμῷ τοῦ π νούσω. ἐξ οὗ καὶ τὸ νούσας. ἐκ δὲ τοῦ νῶ. νῆνος καὶ πλεονασμῷ τοῦ σ καὶ τροπῇ τοῦ ν. εἰς μ. σμῆνος.

Σμήχω. παρὰ τὸν σμήσω μέλλοντα. σημαίνει δὲ τὸ καθαίρω. ἐξ οὗ καὶ

τοῦ ῥύπου ὁ σμήχωντο τῶν ἀνθρώ=
=πων.

Σμίνθιον. τόπος τῆς τρωάδος. ἐν ᾧ ἱερὸν ἀπόλλωνος. ὅμηρος.

Σμινθεύς. ἐπίθετον Ἀπόλλωνος. οὕτω καλοῦσι κρῆτες τὰς μύας. κλίνεται σμίνθιος καὶ σμινθεύς.

Σμίλη. σημαίνει τὸ σμίλιον. καὶ παροξύνεται καὶ διὰ τοῦ ι. γράφεται. τὰ γὰρ εἰς λη μονογενῆ. οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι. οἷον σμίλη. μαρίλη. σημαίνει δὲ τὴν κόνιν. ἴλη. ἡ τάξις. πατίλη σημαίνει δὲ τῶν δερμάτων τὰ ξύσ=
=ματα. ὕλη. πάλη. πύλη. χολή. φίλη. σμίλη. χωρὶς τοῦ δειλή. εἴλη. ὠφειλή. ὠτειλή. ἀπειλή.

Σμύρνα. παρὰ τὸ μύρα, καὶ πλε=
=ονασμῷ τοῦ ν. καὶ προσθέσει τοῦ σ. σμύρνα. ἢ παρὰ τὸ μυρ=
=ίζειν. τὸ δὲ ὄνομα τῆς πόλεως σμύρνη λέγεται. ὄφαιμον μέλωπα.

Σμώδιξ:

Σποράδες νῆσοι. ἢ διὰ τὸ σποράδην

κεῖσθαι. ἢ ὅτι σπόρον δέχεται. ἐκ τοῦ σμώχω τὸ ω̄ μέγα. ὅσα γὰρ εἶσιν εἰς ω̄ ῥήματα δισύλλαβα τῷ ω̄ παραληγόμενα τὸ τρώγω. καὶ τὸ σμώχω. γίνεται ἐκ τοῦ σμώχω σμῶδιξ. ἔστι δὲ τὸ βραχύ. ἐπειδὴ οὐδέποτε τὸ ῑ. καὶ τὸ ῡ. πρὸ τοῦ ξ̄ εὑρίσκονται φύσει μακρά. χωρὶς εἰ μὴ λόγῳ ἄρχεται παραστατικοῦ. ὡς τὸ ἰξεύω. ἴξευον.

Σπόγγος. εἰ μὲν διὰ τοῦ π̄. διὰ τὸ σπᾶν τὰ ὑγρά. εἰ δὲ διὰ τοῦ φ̄. παρὰ τὸ σφίγγειν. κατὰ τὰς ἐκθλίψεις. οὕτως Ἡρωδιανός.

## τὸ Σ̄. μετὰ τοῦ ō

Σοβαρὸς ὁ ὑπερηφάνως ἐπαιρόμενος. πλούσιος. τοὺς γὰρ Συβαρίτας ἔδοξεν ἐξ ἀρχῆς ὑπερέχειν πλούτῳ καὶ τρυφῇ. ἐκ τοῦ Συβαρείτας.

Σοβαρός. ἔστι σέβω. τὸ τιμῶ. ἐξ οὗ σέβαρος. καὶ σοβαρός. ὁ ὑπὲρ

τιμῶ ἑαυτὸν κρατῶν.

Σοβ. εἰς τὸ ἀνασόβησω. καὶ δια-
σεσόβηται.

Σοῖο. κατὰ τοὺς ἀκριβεῖς ἀναγι-
νώσκω.

Σοῖο καὶ σεῖο διαφέρει. σοῖο μὲν
γάρ ἐστι. σωαρθρος ἀντωνυμία.
ἀντὶ τοῦ σοῦ. σεῖο δὲ ἀσύναρθρος
ἀντὶ τοῦ σωαρθρος.

Σολοικισμός. τοῦ σῶου λόγου αἰκισ-
μός. εἴρηται ἢ παρὰ τὴν τοῦ
σόλου αἰκισμὸν. ἢ παρὰ τὴν τοῦ
σόλογος ἐξιστορίαν. καὶ τὴν κηλικῶν
ὁμιλίαν.

Σολομὼν. σαλομὼν λέγεται ἡ εἰρή-
νη. καὶ ἐκ τούτου τροπῇ τοῦ ε εἰς
ο σολομὼν. σολομὼν δὲ κλίνεται
σολόμωνος. ὁ κανὼν. τὰ εἰς ων
βαρύτονα κύρια φυλάσσει τὸ ω
σίμωνος. τίμονος.

Σόλος. δίσκος. παρὰ τὸ σῶ τὸ ὁρ-
μῶ καὶ κινῶ.

Σόλων. ὄνομα τινὸς ἕλληνος σοφιστοῦ.
ἀπὸ τοῦ σίαλος. πάνυ γὰρ σοφὸς
ἦν ἐν τῷ λέγειν.

Σόος· εἰς τὸ νοῦσος. καὶ σαώτερος.

Σορός· κιβωτός. λάρναξ. ἐν ᾧ τὸ σῶμα ἐστί. ἤτοι καταρρεῖ. ἢ παρὰ τὸ ἔσω ἐστίν. τὰ τῶν νεκρῶν σώματα. καὶ εἰς τὸ ἀκλίς καὶ σωρός.

Σοφία· παρὰ τὸ σοφός. τοῦτο παρὰ τὸ σέβω ἢ τὸ φῶς. σώζουσα τῆς οἰκείας φύσεως. ἢ διὰ τὸ σαφᾶν ἤγουν λαλεῖν.

Σοφὸς συνετοῦ διαφέρει. καθὸ ὁ μὲν σοφός. καὶ συνετὸς πάντως ὁ δὲ συνετὸς οὐ πάντως σοφός

Σοφός· συφός. παρὰ τὸ σάφα φάσκειν. καὶ εἰς τὸ βασιλικὸν καὶ γνῶσις.

Σολάριον ἡλιακόν. Σολὴ γὰρ τὸν ἥλιον λέγουσι. Σολεῖα. ἢ τοῦ οἴκου.

Σολεμνιά. τὰ ἐν ἐκκλησίαις ὑπὸ βασιλέως διδόμενα. χάριν μνήμης. ἤγουν ἑορταστικά.

Σοφία λέγεται οἱονεὶ σαφία τις. τουτέστιν ἡ τὸ φῶς σώζουσα.

Σοφίζω. ἐκ τοῦ σοφός. τοῦτο παρὰ

τὸ σέβω· τοὺς σοφοὺς πάντες σεσβόμεθα.

τὸ Σ· μετὰ τοῦ Π.

Σπάζω· εἰς τὸ ἀσπάζω.

Σπαίρω· καὶ ἀσπαίρω· τὸ ἀσπαίρω· ἐκ τοῦ σπαίρω.

Σπλάγχνα· ὅτι σπληνίου τρόπον ἐπίκειται ἡμῶν τῇ σαρκί· ἤγουν τῇ γαστρί· καθάπερ γὰρ καὶ τὸ σπληνίον ἐρρωμένον ἱλαρίας τῇ ψυχῇ παρέχει τὸ πάθος· ἐπιτιθὲν δὲ λύπην

Σπλάγχνα· διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν· καὶ ἐφάπτεσθαι ἀλλήλων οἱονεί· πέλαγχνα τινὰ ὄντα.

Σπαίρω· καὶ ἀσπαίρω· τὸ ἀσπαίρω· ἐκ τοῦ σπαίρω· τοῦτο [illegible] σκαίρω· καὶ κατὰ πόθους διαφέρει τρόπους· τὸ σκαίρω· τοῦ σπαίρω· λέγεται μετὰ τοῦ α· κατ' Ἀττικὴν συνήθειαν· ὡς τὸ ἦρα οἱ ἀσπαίρουσα καὶ ὄρεια· καὶ —

ὁ δ' ἑπόμενος περὶ δουρὶ ἦσπαρε. διότι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄκουσον τινὰ κίνησιν δηλοῖ. ὅθεν παράγονται σκάρος καὶ σπάρος ἰχθύες. ὅθεν τὸ σκάρος ἕκουσον τινὰ καὶ εὔρυθμον ἀποτελεῖ κίνησιν. ἐξ οὗ καὶ τὸ σκιρτᾶν παράγεται.

Σπῶ· σημαίνει ζ̄· σπῶ· τὸ σπαίρω. σπῶ· τὸ κατασπῶ. σπῶ τὸ σπεύδω· σπῶ· διαχωρίζω· σπῶ· τὸ στενάζω. σπῶ τὸ στεγάζω· καὶ ἀσπάζομαι.

Σπάδων· εὐνοῦχος· παρὰ τὸ ἀποσπᾶσθαι τι μέρος ἐξ αὐτοῦ. οὕτως Ἡρακλείδης.

Σπάνιον τὸ ὀλίγον ἐκ τοῦ σπάνις. τοῦτο ἐκ τοῦ σπανίζω· ὃ σημαίνει τὸ ἐλαττῶ καὶ φθείρω. παρὰ τὸ σπάνις ἡ λεῖψις. τοῦτο παρὰ τὸ σπῶ· σπένις καὶ σπάνις ἢ παρὰ τὸ πένω· καὶ κατὰ παρασχηματισμὸν σπάνις. πλεονασμῷ τοῦ σ̄. σπάνις.

Σπάργανον. παρὰ τὸ σπαράσσω

σπάργανον. καὶ σπάργανον κατὰ συγ-
κοπήν.

Σπάρτον. σπαρτίον ἐκ τοῦ σπεί-
ρω. τὸ ἑλίσσω. ἐξ οὗ καὶ σπεῖρα-
τὸ τοῦ ὄφεως ἕλιγμα. ἐκ τοῦ
σπαρτίου γέγονε σπάρτον. καὶ
ὥσπερ κρεία. κρεά. οὕτω καὶ σπαρ-
τία. σπαρτά. συγκοπῇ δὲ καὶ ὑ-
ποκοριστικόν.

Σπείρω. τὸ ἑλίσσω. ἐξ οὗ σπεῖρα-
μα τὸ τοῦ ὄφεως ἕλιγμα. καὶ ἐκ
τούτου σπάρτιον καὶ σπαρτίον.
ἀπὸ τοῦ ἐμπείρεσθαι. καὶ ἐγκεῖ-
σθαι ἐν τοῖς μέλεσι.

Σπεῖρας. νῦν οἱ μεγάλοι κάλοι.
παρὰ τὸ συσπείρεσθαι καὶ κεῖσθαι.
ἢ σπεῖσαι δι' ὧν ἕλκονται αἱ νῆες.

Σπέρμα. παρὰ τὸ ἐν τῇ σπορίμῃ
γῇ πεσεῖν. ἢ κάτω γεγονέναι πα-
ρὰ τὴν γῆν.

Σπάθη. τὸ ὑφαντὸν ἐργαλεῖον.
ἀπὸ τοῦ κατασπᾶν τὴν κρόκην.

Σπεύδω. εἰς τὸ κατασπεύδω.

Σπεῖνδοι: εἰς τὸ ἀργεῖας.

Σπεῖρος· ἱμάτιον ἐσπειρᾶσθαι. σημειωτέον· ὅτι σπεῖρα σημαίνει δύο· τὸν ὁλκὸν τοῦ δράκοντος. τὸν ἐπισυρόμενον τῆς γαστρός. ἐν τῇ γῇ· καὶ σύνταγμα στρατιωτικῶν ἀνδρῶν τριακοσίων. ἢ καὶ σπεῖρα ὁ χιλίαρχος. ὥς που φησίν. οὐχὶ πάντας εἶχεν ὁ χιλίαρχος τοῦ οἰκείου τάγματος. ἐπὶ τοὺς τριακοσίους μόνους. ἤρκουν γὰρ οὗτοι. καὶ σπεῖρα τὸ παχὺ σχοινίον τοῦ πλοίου.

Σπεῖρα· παρὰ τὸ ἐσπειρᾶσθαι ἡμᾶς ἐν αὐτῇ. σπεῖρα δέ ἐστι ἑξήκοντα ἀνδρῶν τάξις. ὥς τό· ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος.

Σπεῖρα. διὰ τῆς ει διφθόγγου. σημαίνει τὸν ὁλκον. τοῦ δράκοντος.

Σπείρημα· εἰς τὸ σπάρτον.

Σπατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων

Σπένδαμος· ξύλον σπινθὴρ· καὶ σπέρματα.

Σπείρω· παρὰ τὸ σπέος· γέγονε σπέω· καὶ κατὰ προσθήκην τοῦ ι σπείρω.

Σπένδω· εἰς τὸ σφενδός.

Σπέος· τὸ σπήλαιον· ἀφώτιστον
ἐστὶν οἴκημα· παρὰ τὸ σβῶ· σβέσω.
σβέος· καὶ τροπῇ τοῦ β· εἰς π·
ὃ ἐπὶ πολὺ γὰρ τοῦ φωτὸς ἐστέρη-
-ται· καὶ σπέος οἱονεὶ ὁ κατεσ-
-βεσμένος καὶ τετρειμένος λίθος.
παρὰ τὴν σβέσιν τοῦ φωτός.

Σπετός· εἰς τὸ ἄσπετος.

Σπήλαιον· εἰς τὸ σπέος.

Σπεύδω· ἐκ τοῦ σπείζω· τὸ ἀκολουθῶ.
καὶ τροπῇ τοῦ ι· εἰς υ σπεύζω.
καὶ τροπῇ τοῦ ζ· εἰς δ· σπεύδω.
παρὰ τὸ σπένδω· τὸ θύω· παρὰ
γὰρ τῷ πυρὶ ἔθυον.

Σπίζω· σπλήνιον· εἰς τὸ ἀσπίς.
καὶ σπίθω· καὶ ἀσπιστής.

Σπιλάδες· παράλιοι πέτραι.
παρὰ τὸ ἐσπηλῶσθαι· ἢ τὰς
κατὰ θάλασσαν περιειλημμένας
ἐν ὀλίγῳ ὕδατι· καὶ ἄλλως σπι-
-λάδες· αἱ ὕφαλοι πέτραι·

Σπιθαμή· παρὰ τὸ σπίζω τὸ
ἐκτίζω· τινὲς δὲ διὰ τοῦ π—

γράφουσιν αὐτό. λέγουσιν αὐτό ἐκ
τοῦ σπῶ τό κατασπῶ. εἶναι.
Σπιλάζοντες. εἰς τό κατασπιλάζοντες.
Σπλάγχνον. εἰς τό ἔσω σπλάγχνον.
Σπλάγχνον σημαίνει τό ἐν πόαθιον
μέρος τό ἔντερον.
Σπόγγος. διά τό σπουδῇ γομοῦσθαι.
ἢ διά τό ἐπισπᾶσθαι τό ὑγρόν.
Σποδός. παρά τό σβέω. σβέσω. σβε-
δός. καί σποδός. παρά τό πούς
ποδός. καί πλεονασμῷ τοῦ σ σπο-
δός. τό ἐν τοῖς ποσί κείμενον.
ἢ παρά τό σπένδω τό λύω. πα-
ρά γάρ τῷ πυρί ἔλυον.
Σπονδή. παρά τό σπένδω. τό
διά τοῦ ὑγροῦ λυσιάσαι. φιλουμέ-
νον καί καταλλεισόμενον καί θεῷ
καί ἀνθρώποις.
Σπονδεῖος. παρά τό σπένδω.
σπονδή. καί ἐξ αὐτοῦ σπονδεῖος.
Σπορά. ὅτι σπεύδει ἐρεῖ. ἤγουν ἐκρεῖ.
ἅμα γάρ τό καταβληθῆναι τήν
σποράν. σπᾶται ὑπό τῆς γῆς.
οὐχί ὠρεῖται εἰς αὐτήν. ἤτων~

Φιλόξενος· ὁ αὐτὸς λόγος καὶ ἐπὶ
τῶν θηλείων· ὅτι δέχονται τὸ
σπέρμα.

Σπουδή· ἐπίρρημα ἀθροίσεως.
τὸ δὴ· ἢ· τὰ παρὰ δοτικῶν
ὀνομάτων γινόμενα ἐπιρρήματα·
καὶ τὴν αὐτὴν γραφὴν φυλάσσει
οἷον σιωπῇ ἐγένετο· σιωπῇ.

Σπῶ· εἰς τὸ ἀσπάζω· καὶ ἀσπά-
-σιος· καὶ ἀσπίς.

τὸ Σ μετὰ τοῦ Τ.

Στάδιος· καὶ στάδιον μέτρον ὁδοῦ
παρὰ τὸ ἵστασθαι τὸν ὁδεύοντα.

Σταθῆναι· εἰς τὸ στῆναι.

Στακὶν τὰ ὀρθὰ ξύλα· οἷον στή-
-μονος τάξιν ἐπέχοντα.

Σταγών· παρὰ τὸ στάζω· στάξω· ὁ
μέλλων· ὁ παρακείμενος ἔσταγα·
καὶ ἐξ αὐτοῦ σταγών· ἡ σταγών.
ἢ παράγωγον.

Στράγξ· παρὰ τὸ στάζω· στάξω·
στράγξ.

Στάθμη· ἡ τευτάνη· ἡ κανόνη.

εἴρηται δὲ στάθμη ἀπὸ τοῦ σταθμοῦ-
σθαι καὶ στοχάζεσθαι. σταθμός. ση-
μαίνει δὲ τὸν ὑπάετον. ᾧ ὁ οἰκονό-
μος ἱβάζει δόμον. ἢ τέκτων ξύλον.
μυθεινδος. δέ ἐστι ὑπάετον παρὰ
τὴν στάσιν τὴν ἐν αὐτῷ. καὶ τὸ
οὐδέτερον στάθμιον. καὶ σταθμά.
εἰσὶ δὲ τὰ ἐμβαλλόμενα ταῖς
πλάστιγξιν τοῦ ζυγοῦ. μέτρα δὲ
τῶν ζῶ εἶναι. οἷς ἔλαιον μετρεῖ-
ται. καὶ οἶνος καὶ τὰ τοιαῦτα.
Σταθμῷ παρὰ τὸ στάθμη. τοῦτο
παρὰ τὸ ἵστασθαι.
Σταῖς εἰς τὸ δαῖς. καὶ παῖς.
Στακτή. παρὰ τὸ στάζω. ἔσταγμαι
ἔστακται. στακτή.
Σταυρός. παρὰ τὴν στάσιν καὶ τὸ
εὖρος. ὃ σημαίνει τὸ πλάτος. οἱο-
νεὶ ὁ μῆκος καὶ πλάτος ἔχων.
παρὰ δὲ τῷ ποιητῇ. σταυροὶ λέ-
γονται τὰ ἀποξυσμένα ξύλα.
ἅπερ καὶ σκόλοπας καλεῖ.
σταυροῖσι πυκνοῖσι.
Σταφυλή. παρὰ τὸ σήπω. σαπυλή.

καὶ σταφυλή. πεπανθείσης γὰρ τῆς
ἀμπέλου, τότε καὶ ἡ σταφυλὴ γίνε-
-ται σταπίς. καὶ ἀσταπίς. καὶ ἀσταφίς.

Σταφυλή. παρὰ τὸ εἶναι αὐτῆς
τὸ στέαρ φιλητόν. τὸν οἶνον λέγω.

Σταφυλή. καὶ σταφύλη διαφέρει.
τὸ μὲν ὀξύτονον. ἐπὶ τῆς ὀπώρας.
τὸ δὲ βαρύτονον ἐπὶ τῆς . . . . .
. . . παρὰ τοῖς ἀρχιτέκτοσι τε-
-θειμένη.

Στέμφυλον κόκκος σταφυλῆς. ἢ φύλ-
-λον ἀμπέλου.

Στέαρ. ἐκ τοῦ ἵστημι. στήσω. στέαρ.
παρὰ τὸ στάζω. ἢ παρὰ τὸ στάσιν
μετὰ πῆξιν ἔχειν.

Στέατα. λιπάσματα. παρὰ τὸ
στία. καὶ πῆξιν. τὰ εἰς αρ οὐδέτε-
-ρα.

Στέγανος. ὁ ἐστεγασμένος. καὶ ἐσκε-
-πασμένος παρὰ τὴν στέγην. λέγεται
δὲ καὶ στέγανον τὸ στεγνότερον.
καὶ στεγανόποδες ὄρνιθες. οἱ ἔνυδρα-
-τι διατρίβοντες. καὶ τοὺς πόδας
ἔχοντες στεγανούς. οἷς αἱ μεταξὺ

τῶν δακτύλων ὧσ εὐχωρείαι δέρματι
ἐλλημμέναι. καὶ στεγανάσματα. ἐν τοῖς
τοῖς τοίχοις οἱ ἐνδεσμοι.
Στάχυς. παρὰ τὸ ἵστασθαι καὶ ἔχειν.
ἐν ἑαυτῷ τὸν σῖτον. καὶ τὴν κριθήν.
Σταθμίζω. τὸ ζυγοστατῶ. διὰ τοῦ
τ. ἐστάθμισα. τὸ ἐμέτρησα, διὰ
τοῦ η.
Στέγω. εἰς τὸ ἔστεγον.
Στέγη. διὰ τὸ στάζειν ἐπὶ γῆς τὸ ὕδωρ.
ἢ διὰ τὸ βαστάζειν
Στείβω. στοιβή. εἰς τὸ ἀστίβητον καὶ
στιβαρόν.
Στεῖνος. σῶμα. διατί βαρύνεται.
ἐὰν ἀρσενικὸν ὄνομα βαρύτονον εἰς
εἰς οὐδέτερον γένος πίπτη ὁμότονόν
ἐστι. οἷον ὁ σκότος. τὸ σκότος. ὁ
ἔλεγχος τὸ ἔλεγχος. εἰ μέντοι ὀξύ-
νονται τὰ ἀρσενικά. οὐκέτι. βούλον-
ται ὁμοτονεῖν. ἀλλὰ φεύγουσι τὴν
ὀξεῖαν ὁ στενός. τὸ στένος. ὁ μακρός
τὸ μάκρος.
Στείχω. τὸ πορεύομαι. ἐξ οὗ καὶ
στίχος διὰ τοῦ ι. καὶ στοῖχος ἡ πρᾶξις.
Στείνω. εἰς τὸ πολύστονος.
Στεῖρα σημαίνει δὲ τὴν μὴ τίκτουσαν

καὶ τὸν ἰσόν· τοῦ πλοίου. διὰ τῆς ει
διφθόγγου. ἐπὶ μὲν ~~κη~~ τῆς τρό-
πεως. ἀπὸ τοῦ στερεὸν ἔχειν τὸ
στέρα. καὶ ἐν πλεονασμῷ τοῦ ι. στεῖ-
ρα. οἱονεὶ ἡ ἐστερημένη τοῦ τίκ-
τειν.

Στεῖρα. παρὰ τὸ στῶ. στεῖα. στεῖρα.
πλεονασμῷ τοῦ ε. ἢ τοῦ στῆσαι στά- ×
σιν ἔχουσα.

Στεῖρα. ἡ μὴ τίκτουσα. καὶ ἴσως
πάλιν ὡς φησὶν Ἀπολλόδωρος. παρὰ
τὸ στερεὸν ὅπερ κάλλιστόν ἐστι. παρὰ
τὴν στάσιν καὶ ἀποχήν. ἢ παρὰ τὸ
στερεῖσθαι τοῦ τίκτειν.

Στεῖρα. ἡ ἄτεκνος καὶ ἄγονος. παρὰ
τὸ στερεὰ εἶναι τῶν ἄλλων γυναικῶν.

Στεῖρα. παρὰ τὸ τείνω τὸ καταπο-
νῶ. κατ' ἀντίφρασιν. ἡ μὴ τρεφομέ-
νη τῶν ἄλλων ἀλλ' ἀκμάζουσα.

Στεινοπός. ὁ στενὸς τόπος. διὰ τῆς
ει διφθόγγου.

Στεῖρα λέγεται ἡ μὴ τίκτουσα.
παρὰ τὸ στερεὸν τοῦ σώματος. ἐπει-
δὴ αἱ μὴ τίκτουσαι. πάνυ στερεὸν
ἔχουσι τὸ σῶμα.

Στιφρώς· ὁ στερεός.

Στείχω· στοῖχος· εἰς τὸ ἀντίστοιχον.
καὶ στίξ· καὶ στίφος· καὶ στοιχάζομαι.

Σπερμολόγος· ὅτι μὲν τὸ κύριον
πτηνόν ἐστι κολοιώδες ζῶον· τὸ ὄνομα
λαβὸν παρὰ τὸ καταλαμβανόμενα
σπέρματα ἐκλέγειν δηλοῖ. παρ' ὃ
καὶ οἱ σπείροντες· ἐπαρῶνται
τὴν γῆν τοῖς σπέρμασιν. ἐκ μετα:
:φορᾶς δὲ ἔλεγον· τοὺς παρὰ τὰς
ἀγορὰς· καὶ τοὺς λιμένας διατρί:
:βοντας. οἱ τὰ ὀπίσωθεν ἐκ τῶν
σακκῶν ἐκπίπτοντα ὄσπρια. κα:
:ρια. ἰσχάδας. ἐκλέγοντες.

Στεροπήν· ἀστραπὴν παρὰ τὸ στε:
:ρεῖσθαι τοῦ βλέπειν.

Στεροπὴν λαμπηδόνα. παρὰ τὸ
στερίσκειν τοὺς ὦπας. ἤγουν τοὺς
ὀφθαλμούς.

Στενάζων. παρὰ τὸ στένω. τοῦτο
παρὰ τὸ στέγω. τὸ ὑπομένω.

Στέλεχος. ἡ μὲν ὁ κορμός ἤγουν
ἡ ῥίζα. παρὰ τὸ στέλεχος ἔχειν. ἢ

παρὰ τὸ στερεόν. ἢ δὴ οἱ ἄνω τῆς κορυφῆς κλάδοι. παρὰ τὸ εἰς τέλος ἔχειν. τουτέστιν ἔχεσθαι.

Στέλλω. εἰς τὸ ἀγγείλας. στέλλω σημαίνει τέσσαρα. τὸ ἐπιστέλλω. ἐξ οὗ καὶ ἐπιστολή. καὶ τὸ πέμπω. ἐξ οὗ καὶ στόλος. καὶ τὸ κοσμῶ. ἐξ οὗ στολή. καὶ τὸ κεύθω.

Στέργω. εἰ μὲν συντίθεται μετὰ δοτικῆς. σημαίνει τὸ ἀρκοῦμαι. ὅτε δὲ μετὰ αἰτιατικῆς. σημαίνει τὸ ἀγαπῶ. στέργειν μὲν ἡμ͂. γίνεται δὲ παρὰ τὸ στῶ. τὸ σημαῖνον τὸ ἵστω. κατὰ παραγωγὴν στέγω. καὶ πλεονασμῷ τοῦ ρ̄. στέργω. ὁ δὲ ἀγαπῶν τινα, διΐσταται εἰς αὐτόν.

Στέργων. ἀγαπῶν. φιλῶν ἀπὸ τοῦ στέργω. τοῦτο παρὰ τὸ στέγω. ὃ σημαίνει τὸ ὑπομένω. καὶ εἰς τὸ ἔστεργεν.

Στερέωμα παρὰ τὸ στερεῶ τοῦτο παρὰ τὸ ἵστημι. στήσω. ὁ δὲ στερεὸς

ἀόριστος ἐστιν. καὶ τὸ ἀπαρέμφατον
στῆναι. τὰ εἰς ναι λήγοντα ἀπαρέμ-
φατα. ποιοῦσιν εἰς ρος ὀνόματα.
ἰσοσύλλαβα. οἷον διεῖναι. διερός.
μιεῖναι. μιαρός. σαθῆναι. σαθρός.
οὕτω. καὶ ἀπὸ τοῦ στῆναι. στερεός.

Στέρεον. παρὰ τὸ στῶ. στέω. τὸ
ἐντελές. στέω στέρον. καὶ πλεονασ-
μῷ τοῦ ν. στερεόν. ἐκ τοῦ στῶ.
στήσω ὁ μέλλων. καὶ ἐξ αὐτοῦ. γίνεται
στῆθος. ὃ κλίνεται. ἢ παρὰ τὸ
στερεὸν εἶναι. ἱστάμενον ἀσάλευτον.
καὶ μὴ κλινόμενον. ἐπειδή. ὅλα τὰ
μέρη τοῦ σώματος κλίνεται. τὸ
δὲ στῆθος. οὐ κλίνεται. ἢ παρὰ τὴν
στερεότητα.

Στερεοῖς στήθεσι. διότι ἔστηκεν
ἀσάλευτον.

Στεφάνη εἶδος περικεφαλαίας.

Στέφανος βραβείου διαφέρει. στέ-
φανος κόσμος γυναικεῖος. ἐπὶ τῆς
κοίτης.

Στῆθος. ἀπὸ τοῦ ἑστάναι. παρὰ

σιτίου καὶ τὸ ὤθω τὸ περωθωσιτι-
ώθιόν τι ὄν· παρὰ τὸ τὰ σιτία
δι' αὐτοῦ ὠθεῖσθαι· κατὰ συγκοπὴν
στῶθος· καὶ τροπῇ τοῦ μακροῦ εἰς
μακρὸν στῆθος· ἢ παρὰ τὸ ἵστημι.
στήθω· στῆθος· τὸ ὀρθῶς ἱστάμενον.
καὶ μὴ ἐπικεκαμμένον· τὸ θη· η
διατί τὰ διὰ τοῦ ηθος δισύλλαβα
μονογενῆ διὰ τοῦ η· γράφονται.
οἷον ἦθος· πλῆθος· στῆθος· πλὴν
τοῦ λίθος· καὶ πίλος· καὶ πίθος.

Στιθΐδιον· τὸ μικρὸν στῆθος.

Στέρνον· τὸ στῆθος.

Στηθώνιον· ἐστι μέρος τι τοῦ
στήθους· καὶ ἐκ τοῦ στῆθος ὑποκο-
ριστὸν τὸ στηθόνιον.

Στήριγμα· ἐκ τοῦ στηρίζω· τοῦτο
παρὰ τὸ στὴρ· τοῦτο παρὰ τὸ
ἵστω· ἵστημι· στήθω· καὶ στήξω.

Στηλητεύω· τὸ θριαμβεύω· ἐκ
τούτου γίνεται στηλίτης· τοῦτο
παρὰ τὸ στήλη, ὃ σημαίνει τὸν λίθον

τὸν ἐν τῇ κεφαλῇ τοῦ τεθνεῶ-
-τος· ὡς ἐκ τοῦ πολίτης· πο-
-λιτεύω.

Στηλῶν· εἰς τὸ ἔξω στηλῶν.

Στήλας ὀρθοὺς λίθους· παρὰ
τὸ ἵστασθαι.

Στήμων· παρὰ τὸν στήσω μέλ-
-λοντα· σημαίνει δὲ τοῦ ἱστοῦ
τὸ στημόνιον.

Στήλη· παρὰ τὸ στῶ ῥῆμα· ὃ
σημαίνει τὸ σταθῆναι.

Σταθῆναι· στῆναι διαφέρει· τὸ
μὲν γὰρ στῆναι· κατὰ προαίρεσιν
ἰδίαν γίνεται· τὸ δὲ σταθῆναι ἐκ
τῆς ἄλλου προαιρέσεως· οἷον ἔστη
ὁ ἄνθρωπος δι᾽ αὑτοῦ· ὁ ἀνδριὰς
ἐστάθη ὑφ᾽ ἑτέρου.

Στέλεχος· ξύλου κορμός· στέλεχος
δὲ οὐδέτερον ὁ κλάδος.

Στήτην· χρόνου ἀορίστου δευτέ-
-ρου τὸ ῥῆμα ἵστημι.

Στιβαρὸν γίνεται ἐκ τοῦ στείβω
τὸ περιπατῶ· καὶ τί μετέχει
τὸ στιβαρὸν πρὸς τὸ στείβω.

οἷον καὶ τὸ πεπιλημένον καὶ συνω-
ημένον· καὶ ἠσφαλισμένον ἤγουν
τὸ μὴ ἔχον ἔξοδον μηδὲ ὀπήν.
τὸ στῑ· ῑ· διατί· πολλὰ εἰσὶν ὀνόμα-
τα ἐκ τοῦ στείβω. ὁ δεύτερος ἀό-
ριστος ἔστιβον· ἐστίβην καὶ τὸ ἀπα-
ρέμφατον στιβῆναι. ἐπειδὴ κανὼν
ἐστὶν ὁ λέγων· τοῖς εἰς ναι λήγου-
σιν ἀπαρεμφάτοις. εἰώθασιν ἀν-
τιπαρακεῖσθαι ὀνόματα εἰς ρος
οἷον μιαίναι μιαρός. λιπάναι λιπα-
ρός. οὕτως οὖν στιβῆναι. καὶ δωρι-
κῶς τρέπεται τὸ η· εἰς ᾱ· στιβᾶ-
ναι. καὶ ἐξ αὐτοῦ στιβαρός.

Στίβη· εἰς τὸ λωβήσαιο.

Στιβήζουσι· εὐθέωδες στιβάζουσι
τὸ ψεῦδος. δραπετεύουσι. διαφεύ-
γουσι. καὶ στίβειν. ἐπὶ τοῦ πατεῖν.
καὶ στιβεύειν τὸ ἰχνεύειν δηλωτικόν.

Στίβος· ἡ ὁδός

Στιβαδία· καὶ στιβάς. ἡ συναγωγή.

Στιβάς. στιβάδος· ἡ χαμαίστρωτος
εὐνὴ καὶ οἱ τῶν δένδρων ἀκρέμονες.

στιβάδα· στιβάς· καὶ ἡ τράπεζα· καὶ
ἡ ἀπὸ ῥάβδων στρῶσις.

Στίγμα· πληγή· δαρμός· παρὰ τὸ
στίζω τὸ κεντῶ· σημαίνει δὲ δύο
τὴν πληγὴν· καὶ τὴν στιγμὴν τῶν
γραφῶν.

Στίβω· εἰς τὸ ἀστίβητον· καὶ
στιβαρόν.

Στίλβω· παρὰ τὸ σέλας· καὶ τὸ
βῶ· τὸ βαίνω· ἢ παρὰ τὸ τῆλε·
ὃ σημαίνει τὸ μακρόν· τὸ πόρρω
θεν λάμπω καὶ αὐγάζω.

Στίλπνω· εἰς τὸ ἀΐδηλος.

Στίξ· ἡ τάξις· τὸ στι· ι· οὐδέποτε
δίφθογγον εἰς διπλοῦν λήγει· οἷον
λίψ· θρίξ· κνίψ· τί διαφέρει
σκνίψ· καὶ κνίψ· οὐδὲν διαφέρει·
ἢ μόνον κατὰ κλίσιν· τὸ μὲν γὰρ
σκνίψ τὸ μετὰ τοῦ σ· κλίνεται
δὲ σκνίψ· σκνιπός· καὶ σκνιφός·
διὰ τοῦ π· καὶ φ· διττὴν γὰρ
ποιεῖται τὴν κλίσιν· τὸ δὲ χωρὶς
τοῦ σ· κνίψ· μόνον διὰ τοῦ π
κλίνεται· κνιπός· ἀπὸ μεταθέσεως

τοῦ βιότου· μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. καὶ λέγουσι καὶ τὸν μικρὸν ἄνθρωπον κνιπόν· τὸ δὲ στῖξ γίνεται παρὰ τὸ στείχω· τὸ στεῖ δίφθογγον. τὰ ἔχοντα τὸ ε̄ ἐγκείμενον ἐν τοῖς ῥήμασι· τὸ στείχω σημαίνει τὸ ἐν τάξει πορεύομαι· ἡ γενικὴ στιχός. καὶ ὅμηρος· εἷς στιχὸς ἦρχε.

Στόβολος· ἡ πόλις· καὶ στρόβυλος ὁ κῆβος.

Στῖφος· ὁ ὄχλος· ἄθροισμα τὸ πλῆθος· καὶ οἱ στρατιῶται καὶ ἡ τάξις τῶν ἀνδρῶν· γίνεται δὲ παρὰ τὸ στῖξ· στιχός· ὃ σημαίνει τὴν τάξιν, καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. καὶ βαρύνεται· αἱ γὰρ γενικαὶ μετάγονται· καὶ γίνεται στῖχος· καὶ στῖφος· καὶ τροπῇ τοῦ χ̄ εἰς φ̄· καὶ περισπᾶται.

Στιχός· εἰς τὸ στῖφος.

Στροβίλλχ· κυκήσαις.

Στροβίλιον· ὁ καρπός· στρόβιλος· ὁ ἄνεμος· ἐκ τοῦ στρέφω καὶ τοῦ

ἠλῶ. καὶ γράφεται διὰ τοῦ η.

Στομαργία. ἀφωνία.

Στιχῶ. καὶ ἐστιχόωντο. ἔστι δευ-
-τέρας συζυγίας τῶν περισπωμένων.
στιχάω. στιχῶ. στιχάεις. στιχᾶς. στιχά-
-ει. στιχᾷ.

Ἡ μὲν ἐν πρώτῃσι καὶ ὑστάτοισι βόεσσιν
Αἰὲν ὁμοστιχάει. ——

γίνεται. ἐκ τοῦ στίξ. στίχος. ὃ δη-
-μαίνει τὴν τάξιν. στιχῶ. ῥῆμα.
τὸ στ. τ. ἐκ τοῦ στίξ. τὸ δὲ στίξ.
ἐκ τοῦ στείχω. στείξω. στίξ.

Στοαί. αἱ καμάραι. ἐξ αὐτοῦ καὶ
στοϊκοὶ οἱ φιλόσοφοι. ἐκεῖ γὰρ
ἦν αὐτῶν τὸ διδασκαλεῖον.

Στοά. ποιητικός. καμάρα. τὸ
στο μακρόν. τὸ λεγόμενον προσ-
-κλιτόν. στωϊκὸς δὲ μέγα.

Στείβω. στοιβὴ καὶ στοιβαδία.

Στοά. ἡ πηγή.

Στοιχεῖα. ὅτι στοιχοῦσιν ἀλλήλοις.
καὶ εἰς τὸ γράμμα.

Στοιχῶ. εἰς τὸ ἀντιστοιχῶ.

Στόμα· παρὰ τὸ τέμνω· τέτο-
-μα· τόμα· καὶ στόμα· ἐτυμολογεῖ-
-ται δὲ· παρὰ τὸ τὰ σιτία τέμ-
-νειν.

Στόμαχος· σημαίνει τὸν φάρυγ-
-γα· ἐτυμολογεῖται δὲ ὅτι σιτο-
-μάχος τίς ὤν· ὁ τοῖς σιτίοις
μαχόμενος· ἢ ὅτι στόμα ἐστὶ τῶν
χεομένων· ἢ ἐκ τοῦ στόμα καὶ τοῦ
μῆχος· ὃ σημαίνει τὴν μηχανήν,
ἢ παρὰ τὸ στόμα καὶ τὸ χέω· δι'
αὐτοῦ γὰρ ἥ τε ὑγρὰ καὶ ξηρὰ
τροφή· πρὸς τὴν γαστέρα χεῖται.

Στοχάζομαι· ἐκ τοῦ στείχω· τὸ
κατὰ σύνταξιν σκοπῶ· καὶ βλέ-
-πω· καὶ βαδίζω· στοχάζειν γὰρ λέ-
-γεται τὸ πρὸς εὐθεῖαν ὁδὸν τοὺς
λόγους ἀπευθύνειν.

Στοχάς· ὁ σκοπός.

Στοιχείωσις· ἡ πρώτη μάθησις.
καὶ στοιχῶ· τὸ συμφωνῶ· στοιχί-
-ζω· δὲ τὸ περικυκλῶ· καὶ ἡ ὁδηγία.
καὶ ἡ διατύπωσις.

Στυφελίζειν. τὸ βιαίως διατι-
:θεσθαι. στυφελὸν γὰρ τὸ βίαιον
ἢ στυφελίσσειν διὰ τὸ τινάσσειν καὶ
κινεῖν.

Στοιχειώδης. ἀκριβεστάτη ἐπιτομή.

Στόμα. ἀπὸ τῆς τῶν χειλῶν
διαστάσεως.

Σταγγανα. ἡ διαστροφή. καὶ συστρο-
:φή. καὶ παραπλοκή. καὶ ἡ φι-
:λονεικία.

Στραγγαλία. παρὰ τὸ στραγγαλιῶ.
ἔστι στράγξω. στραγγός. ἐκ τούτου
γίνεται στραγγαλίζω. καὶ ἐξ αὐτοῦ
στραγγαλιῶ. στραγγαλιᾶς. ἡ στραγγα-
:λία.

Στράτα. διὰ τὸ ἱσαμένη εἶναι.

Στρατεία. τὸ ἀξίωμα ἐκ τοῦ
στρατεύομαι. στρατεία. στρατιὰ δὲ
τὸ στράτευμα. ἐκ τούτου τὸ πλῆ-
:θος τὸ πολεμικόν. ἐκ τοῦ στρατὸς
στρατιά.

Στρατόπεδον, στρατεύματος. στρα-
:τοῦ διαφέρει. στρατόπεδον μὲν
γάρ ἐστιν. ὁ τόπος ἐν ᾧ ὁ στρατὸς

ἵσαται· τὸ δὲ στράτευμα ὁ στρατός
ὁ δὲ στρατὸς τὸ πλῆθος· τὸ στρατευ-
όμενον.

Στρατὸς γίνεται· παρὰ τὸ στερεῶς
ἅπτειν ἤγουν ἐφάλλεσθαι· ἢ παρὰ
τὸ στέφω· ἔστραμμαι· στραπτός.
ὡς γέγραπται γραπτός· καὶ στρατός.
ὁ ὢν περίτεπτος· ἢ παρὰ τὸ στε-
ρεῶς ἵστασθαι· στρατός· ὁ συνεστραμ-
μένος· καὶ συνδεδεμένος ὄχλος.

Στρατεία· τὸ τάγμα· παρὰ τὸ
στρατεύω· τεταγμένη στρατεία· τὸ
πλῆθος διὰ τοῦ ι.

Στρατηγός. ἄρχων· τὰ παρὰ τοῦ
ἡγος συντιθέμενα ἅπαντα διὰ τοῦ
η γράφονται· οἷον ὁδηγός· αἰγηλός.
οἰνηγός· ἀρχηγός· κυνηγός.

Στρεβλός· παρὰ τὸ ἐστραμμένα
τὰ βλέμματα ἔχειν· ἢ παρὰ τὸ
στρέφω τὸ συστρέφω.

Στρατεία· καὶ ἡ ἔξοδος.

Στρηνιᾶν· παρὰ τὸ στερεῖν· καὶ
ἀποσπᾶν τὰς ἡνίας ἀπὸ μεταφορᾶς
τῶν ἀλόγων ζώων· μάλιστα τῶν ὑπο-
ζυγίων.

Στενιῶ· γαυριῶ· ἔστι σθῶ· σθένω· σθένος· καὶ πλεονασμῷ τοῦ ε· στένος· καὶ ἐξ αὐτοῦ στενιῶ.

Στρουθίον· παρὰ τὸ στρουθός· διὰ τὸ στερεῶς θέειν· ἤγουν τρέχειν· ἢ καὶ διὰ τὸ τρέχειν τὸν ἀέρα.

Στρουθεῖον· παρὰ τὸ ἐστερῆσθαι τοῦ θέειν.

Στρουθός· ὀξύνεται· βαρύνεσθαι ὀφείλει· τὰ γὰρ εἰς θος δισύλλαβα μονογενῆ ἰσφύσει μακρᾷ παραληγόμενα βαρύνεται οἷον ξοῦθος, ὄνομα κύριον· μῦθος· κῦθος· ζῦθος· τοῦτο δὲ ὀξύνεται· ἐκ τῆς ἐτυμολογίας, παρὰ τὸ μετ' οἴστρου θέειν· τὰ δὲ παρὰ τὸ θέω γινόμενα ἅπαντα ὀξύνεται· οἷον· ἀγαθός· βοηθός· τούτοις δὲ ἐξηκολούθησε καὶ τὸ στρουθός.

Στρωννύω· ἐντρίβω.

Στρουθὸς παρὰ τὸ στερεῶς θέειν· καὶ ἀντίφρασιν· τὸ μὴ στερεῶς· ἀλλὰ ἀργῶς· καὶ παρὰ τὸ στερῆσθαι τοῦ θέειν· ἐκ δὲ τοῦ στρουθὸς γίνεται στρουθίον· τὸ δὲ ι· ὁ κανών· τὰ ἀπὸ τῶν εἰς ος ὀνόματα διὰ

τοῦ του γινόμενα οὐδέτερα· τὰ μὲν μακρὰ παραλήγεται· διὰ τοῦ ῑ· γράφεται· οἷον σαυρός· σαυρίον· στρουθός· στρουθίον.

Στροφός· εἴρηται ἀρσενικῶς· ἀπὸ τοῦ στρέφεσθαι.

Στροφῶ· εἰς τὸ πωλῶ.

Στρόβιλος· ὁ ἄνεμος· ἐκ τοῦ στρέφω στρέφιλος· καὶ στρόβιλος· ἢ παρὰ τὴν στρεβλότητα· σημαίνει δὲ τρία· ἢ ἀνέμου συστροφήν· ἢ ὀρχήσεως· ἢ ὄνομα πόλεως.

Στυγνόν· μισητόν· στύζω· στύξω· ἀποβολῇ τοῦ ω̄ στύξ· ἢ παρὰ τὸ στυγῶ· στυγήσω· ἐξ οὗ καὶ στυγητός ὁ μισητός· καὶ στυγνός ἐξ αὐτοῦ. ἔστιν ἀπὸ μεταφορᾶς τῆς στυγός· ἥτις ἐστὶν ἐν ᾅδου κρήνη.

Στύξ· ἐν ᾅδου κρήνη· ἀπὸ τῆς στυγνότητος.

Στυγερόν· ἐκ τοῦ στυγῶ· τοῦ σημαίνοντος τὸ φοβοῦμαι· καὶ τὸ μισῶ· τοῦτο ἐκ τοῦ στυγός· ἥτις ψυχρότατον ὕδωρ ἔχει· καί τι

μετέχει τὸ στυγῶ· πρὸς τὸ στυγός.
μυθεύονται οἱ ἀρχαῖοι ὅτι τὰ
μὲν ἀηδῆ καὶ λυπηρὰ ἐκ τῶν
ψυχρῶν καθέστηκε. τὰ δὲ ἡδέα καὶ
τερπνὰ ἐκ τῶν θερμῶν. στυγὸς ὕδωρ.
ἐπειδὴ ἡ στὺξ κατὰ ἡσίοδον. ἐστὶν
ἱερὰ πηγὴ θυγάτηρ ὠκεανοῦ. ἢ ὥς
τινὲς φασὶν. ὅτι ὁμώνυμος ταύτῃ
ἐστὶν ἡ πηγὴ. ἐν ἅδου ὅρκον φρικ-
τὸν αὐτὸν οἱ θεοὶ πεποίηνται.
βουλήσει διός.

Στυγῶ. εἰς τὸ κατέστυξε.

Στύλος. στήκει ὅλος.

Στυπεῖον. τὸ τῆς ἐλάτης ἰστουδ.
παρὰ τὸ τύπτω στυπεῖον. λέγε-
ται δὲ καὶ στυπεῖον. καὶ τύπος
τυπεῖον.

Στῶ. εἰς τὸ ἔστεργε. καὶ πίπτω
καὶ στέργω.

Στωμύλος. λάλος. πέρπερος. καὶ
στωμύλλεται τὸ τερατῶς λέγειν.
καὶ στωμύλματα τὰ περιλαλήματα.

Στῶ. σημαίνει τέσσαρα. τὸ στέργω.

καὶ στέγω· στῶ· στείω· στεῖρα· στῶ. ἵστω· ἵστημι· στήθω· τὸ ἀθροίζω.

## τὸ σ̄. μετὰ τοῦ ῡ.

Σύγγραμμα. συντάγματος διαφέρει. σύγγραμμα μὲν γάρ ἐστιν. ὁ δίχα μέτρου λόγος προσαγορευόμενος πεζός. σύνταγμα δὲ πολεμικόν τι σύστημα. ἀφ' ὧν καὶ συνταγματάρχης. ὁ τοῦ συστήματος αὐτῶν ἄρχων.

Συγγραφεύς. εἰς τὸ ἱστοριογράφος.

Σύγκριτος. εἰς τὸ πρώτιστος.

Συκάζω. εἰς τὸ ἐσύκαζον

Συκάμινον. εἶδος ὀπώρας. καὶ οὐδέτερον μὲν ὁ καρπός ἀρσενικὸν δὲ τὸ δένδρον.

Συκάμινον διὰ τὸν συγκάμνοντα τὸν σκώληκα. δίχα γὰρ τοῦ σκώληκος. ἡδὺν ἐστι.

Συκῆ. συκέα. συγχέουσα τὶς οὖσα. καὶ τραχεῖα. σῦκον δὲ ὁ καρπός.

Συκοφαντεῖν. τὸ ψεῦδος τινός

κατηγορεῖν. κέκληται δὲ τοῦτο
φασί. παρὰ Ἀθηναίοις. πρῶτον γὰρ
ἐκεῖσε εὑρεθέντος φυτοῦ συκῆς.
τῆς ἐφημέρου τροφῆς. καλλίστων δὲ
ὄντων τῶν παρὰ Ἀθήνησι σύκων.
καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν
τὰ σῦκα. ἔκλεπτον αὐτὰ τινές. καὶ
ἐξῆγον ἔξω. τοὺς δὲ μηνύοντας καὶ
φαίνοντας τοὺς ἐξάγοντας ἀποδέχου-
-το μέν. ἐξ ὧν δὲ ἔπραττον συκο-
-φάντας ὠνόμασαν.

Συκοφαντία λέγεται ψευδοκατη-
-γορία.

Συκοφάντης. συκοφάντου. ὁ κανὼν
τὰ εἰς ης ὀνόματα. μὴ ὄντα σύνθετα.
παρὰ τὸ κρατῶ. ἢ κράτος οὐδέτερον
μὴ ἔχοντα. εἰς ου ἔχει τὴν γενικήν.

Συβώτης. ὁ χοιροβοσκός. ὁ τοὺς
σύας βόσκων. καὶ ἐπαύξησιν τοῦ
ο. εἰς ω. συβώτιον. διαφέρει δὲ
συβώτης βουκόλου. ἱπποφορβοῦ.

Συλλήβδην. ἐκ τοῦ λήβω. λήψω-

συλλήβδην τὸ ὁμοῦ. παρὰ τὸ λήβω.
λήψω· καὶ ἐξ αὐτοῦ ἐπίρρημα λήβδην.
ὥσπερ λήχω· λίγδην. ἄκρον ἐπίλιγδην
ὡς καὶ ὅμηρος. ἤτοι παρὰ τὸ λήβω
λήβδην. ὁ παθητικὸς λήψομαι. λήβδην
ἐπίρρημα μεσότητος.

Σύμβασις. ἡ φιλία. παρὰ τὸ συμβῆ-
ναι. καὶ συνελθεῖν.

Συναινῶ. ἐκ τῆς σὺν προθέσεως.
καὶ τοῦ αἰνῶ τὸ λέγω. ὃ σημαίνει
τὸ λαλῶ. καὶ συμβουλεύω.

Συμβαλλομάχος. μάχιμος πρὸς φι-
λονεικίαν.

Συλῶ. μόνον μὲν ὂν ἔστι δευτέρας συ-
ζυγίας τῶν περισπωμένων. ἐν δὲ
συνθέσει πρώτης. ἱεροσυλεῖς. ὡς
τὸ δοκῶ.

Σύμβολον τὸ σημεῖον καὶ τὸ συμπό-
σιον.

Σύμβουλον διὰ τὸ συμβάλλεσθαι ἀδη-
τόν τι νοητοῦ. οἷον ἄρτος καὶ οἶνος.

Συμβουλή. παραινέσεως διαφέρει.
συμβουλὴ μὲν γάρ ἐστιν. ὑφήγησις.

ἀντιλογίαν ἐπιδεχομένη. διὰ τὸ ἄδη-
λον τοῦ ἐκβησομένου. καὶ γὰρ ἐὰν
τὶς συμβουλεύσῃ πόλει ἀμφίβολον
εἰσφέρει. διὸ καὶ ἔχει τὸν ἐνιστάμε-
νον. παραίνεσις δέ ἐστι συμβουλή.
ἀντίρρησιν οὐκ ἐπιδεχομένη. διὰ τὸ
ἐξ αὐτῆς λεγόμενον πάντως ὁμολο-
γεῖσθαι ἀγαθόν. ὡς οἷον τὶς παραι-
νέσει σωφρονεῖν. ὅπερ ἐστὶν ὁμο-
λογούμενον ἀγαθὸν τὸ σωφρονεῖν.

Σῆμι εἰς τὸ ἐπέσσυτο.

Συμβιβῶ. ἐκ τοῦ βῶ. τὸ βαίνω.
καὶ κατὰ ἀναδιπλασιασμὸν βιβῶ.
καὶ μετὰ τῆς συν προθέσεως συμ-
βιβῶ.

Σύνθεσις. συντάξεως διαφέρει.
σύνθεσις μὲν γάρ ἐστι λόγος ἔμμετρος.
σύνταξις δὲ λόγος πεζός.

Συμμαχεῖν καὶ ἐπιμαχεῖν διαφέ-
ρει. συμμαχεῖν μὲν γάρ ἐστι τὸ
σὺν αὐτοῖς εἶναι. ἐπιμαχεῖν δὲ εἴτε
τοῖς αὐτοῖς. εἴτε αὐτοὶ ἑτέροις
ἐπιστρατεύοιεν.

Συμμορία πλῆθος. ἢ φατρία. ἀπὸ

τοῦ μέρους· ἤγουν οἱ τῆς αὐτῆς μερίδος.

Συμπάσχειν· εἰς τὸ πάσχειν.

Συμφορά· παρὰ τὸ φορά. φορὰ λέγουσιν Ἕλληνες τὴν τύχην. συμφορὰ οὖν ἐστιν· ἡ ἀπὸ τῆς τύχης συμβεβηκότα.

Συναυλιζόμενοι· εἰς τὸ ξυναυλιζόμενοι.

Συναμησάμενος· συνερύσας. συνάξας. ἢ θερίσας. καὶ ἀμησάμενοι· τεμόντες. συνάγοντες. ἢ ἐπαντλησάμενοι. ἀπὸ τοῦ ἀμῶ. ἀμήσω· τοῦτο παρὰ τὸ ἅμα καὶ τὸ ἕω τὸ πορεύομαι.

Συνασμένιζε· συνευφραίνου. ἔστι δὲ ἥδω· τὸ εὐφραίνομαι. ὁ μέλλων ἥσω. ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς ἧσμαι. ἧσμος τροπῇ τοῦ ᾱ. καὶ ἐν ἐπιθέσει τοῦ ν̄ος. ἄσμενος. καὶ ἐξ αὐτοῦ ἀσμενίζω.

Συνδιάζω· παρὰ τὸ δύο. δυάζω. καὶ συνδιάζω. τὸ διὰ τοῦ ῡ ψιλοῦ

γραφόμενον. σημαίνει δὲ τὸ μεθ' ἑ-
:τέρου διαλέγομαι, καὶ προσομιλῶ.
τὸ δὲ ἐνδιάζω. διὰ τῆς οι διφθόγγου.
τὸ διχοστατῶ. διγνωμῶ. καὶ εἰς τὸ
ἀνενδιάστως.

Συνεδρία. παρὰ τὸ σύνεδρος γίνε-
:ται συνεδρία. ἐξ οὗ καὶ συνέδριον.
καὶ συνεδριάζω. τοῦτο παρὰ τὴν
σὺν πρόθεσιν. καὶ τὸ ἕδρα. τοῦτο
παρὰ τὸ ἕζω. τὸ καθέζομαι.

Συναινῶν. συμφερόμενος. ἀκολου-
:θῶν.

Συνέριθος. συνεργός. παρὰ τὴν ἀ-
:γαθὴν ἔριν.

Συνέτιζον. ἐκ τοῦ συνετίζω.

Συνάορος. ἡ γαμετή. παρὰ τὸ συνα-
:ρηρέναι. ἢ συνάορος τίς ἐστι καὶ
συνόμιλος.

Συνέξει. ἀπὸ τοῦ συνέχω. ὁ μέλ-
:λων συνέξω. καὶ τὸ τρίτον συνέξει.
σημαίνει δὲ τὸ συγκρατήσει.

Συνετός. ἐκ τοῦ συνιεῖν. ῥῆμα
συνιῶ. συνιεῖς. συνιεῖ. τὸ ἀπα-
:ρέμφατον συνιεῖν. καὶ εἰς τὸ
σοφός.

Συνήγορος· παρά τό ἀγορεύω·
πάντως διά τοῦ η· γράφεται· ὑ=
=πος ὅπου καί παρήγορος· καί ἀλλή=
=γορος·

Συνῆκα· ἐκ τοῦ συνίημι ὁ μέλλων
συνήσω· ὁ ἀόριστος συνῆκα· καί
ὤφειλεν εἶναι σύνηκα· ἀλλά πᾶς
παρωχημένος ὁριστικός ἀπό φωνή=
=εντος ἀρχόμενος· καί ἀπό φύσει
μακρᾶς τόν αὐτόν τόνον φυλάσσει·
καί ἐν συνθέσει· οἷον ἧκα· συνῆκα·
πλήν τοῦ οἶδα· σύνοιδα· τοῦτο γάρ
ἀπο φωνήεντος καί ἀπό φύσει μα=
=κρᾶς, ἀρξάμενον, ἐν τῇ συνθέσει
ἀναπέμπει τόν τόνον·

Συνημμένον· μετοχή· τό θέμα συ=
=νάπτω· ὁ μέλλων συνάψω· ὁ πα=
=ρακείμενος συνῆφα· ὁ παθητικός
συνῆμμαι· ἡ μετοχή συνημμένος·
καί τό οὐδέτερον συνημμένον·

Συνίσω· ἐπί πράγματι συνέγνω·
συνέγνω· ἢ ὅμηρος· συνόμιλος· γνώ=
=στης·

Σύνθεο. προσαντικὸν μέσος ἀόριστος δεύτερος. ἐκ τῆς θου προστέτακται. διαλύσει τῆς ου διφθόγγου ἔθεο. καὶ τὸ προσαντικὸν θέο.

Σύνθετον. κατὰ παραγωγήν. ἐκ τῆς σὺν προθέσεως. καὶ τοῦ τίθημι. θέσω. γίνεται. σύνθετον. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀσύνθετον.

Συνιεὶς. τὸ θέμα συνιῶ. ὁ μέλλων συνιέσω. ὁ δεύτερος ἀόριστος συνῆον. καὶ ὁ δεύτερος μέλλων συνιῶ. καὶ τὸ δεύτερον συνιεὶς. συνιών. ἐκ τοῦ ἰῶ. τὸ προιῶ. ἰών. καὶ συνιών.

Συνομῶται. συμφατριασαί. παρὰ τὸν ὅρκον.

Συνεργος. καὶ συνεργός διαφέρει. συνεργὸς μὲν ὀξύτονον. ὁ παρὰ τὸ ἔργον συμπονῶν. σύνεργος δὲ ὁ ὁμότεχνος. καὶ σύντεχνος.

Συνουσίαν. τὴν ἐν λόγῳ ἀφροδισίαν

τὴν μῖξιν.

Συνιῶν. ἐκ τοῦ συνιῶ γίνεται κατὰ παραγωγὴν συνιῶν.

Συνοχεύς. ὁ συνέχων τὸν κόσμον ἢ ὁ τὸν οἶκον ἐπικρατῶν φύλαξ. δεσπότης.

Σύνοδος. εἰς τὸ ἐκκλησίαν

Συνοχωκότες. συμπεπτωκότες. μετοχὴ πρώτης συζυγίας τῶν περισπωμένων. καὶ τὸ ο. καὶ α μετὰ ποιητική. καὶ ἔστι παρασύνθετον. τὸ σύνθετον σύνοχος. τοῦτο ἐκ τοῦ συνέχω. συνοχέω. συνοχῶ. ὁ μέλλων συνοχήσω. ὁ παρακείμενος συνώχηκα. τὸδε ο εἰς ω. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν γίνεται συνώχωκα. καὶ ἡ μετοχὴ συνωχωκώς. ἡ εὐθεῖα τῶν πληθυντικῶν συνωχωκότες. καὶ συστολῇ ποιητικῇ τοῦ πρώτου ω. εἰς ο. ὡς εἴρηται. συνοχωκότες.

Συνομορία. παρὰ τὸ ὅρος. ὃ σημαίνει τὸν ὀριθμόν.

Συνωρίς. τὸ συνεζευγμένον τῶν ἵππων ὄχημα.

Σύριγξ. σημαίνει τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν. καὶ τὸ πάθος. καὶ τὴν δουρατοθήκην.

ἐκ δ' ἄρα σύριγγος. ——

Σύρος. σῦλος. σύρω. συρεῖν. ὅτι μὲν τῷ ἤθει τῷ συλῆσαι πρὸς πάντας ἀπεργάζεται. ὅτι δὲ τῇ κινητρίᾳ. οὐδὲν δωρεῖται. ἀλλ' εἰς ἑαυτὸν σύρει πάντα ὁπωσποτε. συλῶν. συλᾷ. ἐκ μνημείων. εἰ μὴ τάχιστον εὕροι τῷ ἠθισμένῳ. κλέμματι.

Συσσαῖον. ἐκ τοῦ συσσείω. τοῦτο ἐκ τοῦ σείω τὸ κινῶ. ἐξ οὗ καὶ σήθω. κατὰ παραγωγώ σημαίνει δὲ τὸ κοσκινίζω. πλεονασμῷ τοῦ ι. ἐκ τοῦ σέω.

Συρία. κέκληται ἀπὸ Σύρου τινὸς ὀνόματος κυρίου βασιλεύσαντος.

Σύρεσθαι· συρεία· παρὰ τὸ σύρεσθαι ὑπὸ τοῦ κατακλυσμοῦ. ὡς ἐκ τοῦ ἐναντίου ἀσυρεία· παρὰ τὸ μὴ σύρεσθαι καὶ πλεονασμῷ τοῦ σ. εἰσὶ δὲ οἱ πύρσαι. ἐκεῖ γὰρ οὐκ ἔστι σύλλαβα.

Συφορβός· ὁ τοὺς χοίρους τρέφων.

τὸ Σ. μετὰ τοῦ Φ.

Σφαδάζοντες· μετοχή. ἔστιν ἀπὸ τοῦ σφαδάζω. ὃ σημαίνει τὸ δυσχεραίνω. ὅπερ Ἀττικοὶ ἐπὶ τοῦ χαλεπῶς λέγουσι φέρειν. καὶ σχετλιάζειν. Ξενοφῶν ἐπὶ τοῦ ἀλγεῖν. ἔνιοι τὸ σπαίρειν ἐκδέχονται. οἱ δὲ τὸ χαλεπῶς φέροντα πηδᾶν. οἱ δὲ ἁπλῶς τὸ δυσφορεῖν. γέγονε δὲ παρὰ τὸ σπῶ. τὸ σπεύδω. καὶ ἐκ τούτου σπευδάζω ἀποβολῇ τοῦ υ. καὶ τροπῇ τοῦ ε. εἰς α. καὶ τοῦ π εἰς φ. σφεδάζω.

Σφαῖρα· παρὰ τὸ αἴρω. οἱονεὶ εἰς ὕψος πετομένη.

Σφαιροτὴρ· τὸ λεγόμενον λωρίον.

σφαιρωτὴρ δὲ λέγεται· ἐπειδὴ τὸ
δέρμα πολλάκις κυκλοειδές· ἀπερ-
γαζόμενος ὁ τεχνίτης τοῦ τέμ-
νειν·

Σφέας· ἑαυτούς· ἄρα τὸ σφέας κατὰ πλεονασμὸν ἐστὶ τοῦ ε· ἢ τὸ σφᾶς κατὰ συναίρεσιν. καὶ λέγομεν ὅτι τὸ σφέας κατὰ πλεονασμὸν γίνεται τοῦ ε· διὰ τὸν κανόνα τὸν λέγοντα· καθόλου ἐν τοῖς πληθυντικοῖς ἀριθμοῖς. ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία ἀρχομένη ἀπὸ τῆς σφε ... δισυλλάβου κατὰ τὸ δεύτερον καὶ τρίτου πρόσωπον τοῦ πρώτου τε καὶ δευτέρου προσώπου οἷον ἡμεῖς· ὑμᾶς. σφεῖς· ὑμῶν· σφῶν· ἡμῖν· ὑμῖν· σφῖν. οὕτω καὶ ἡμᾶς· ὑμᾶς· σφᾶς· ὥστε κατὰ πλεονασμὸν ἐστὶ τοῦ ε· ἐπὶ τῆς σφέας· ἀπὸ τοῦ σφᾶς γεγονότος·

Σφέλας τὸ ὑποπόδιον παρὰ τὸ φλᾶσθαι εἰς αὐτὸ τὰ γόνατα· ὅ ἐστι θλᾶσθαι· καὶ κάμπτεσθαι ἐν τῷ καθέζεσθαι·

Σφέτερος· οἰκεῖος· ἴδιος· ἀλλότριος·

Σφενδόνη· παρὰ τὸ σπένδω τὸ ἀναιρῶ καὶ τὸ θυσιάζω· ἐγὼ γὰρ ἤδη σπένδομαι· σπενδόνη· καὶ σφενδόνη· ἢ παρὰ τὸ σφάζω· ἢ παρὰ τὸ σπένδω.

Σφενδόνη· τὸ σφενδόβολον τοῦ δακτυλίου τὸ περιφερές·

Σφηνοπώγων· ὁ σπανός· ἐκ τοῦ σφήνω κατὰ τροπὴν τοῦ φ· εἰς π·

Σφετεριζόμενος· ἰδιοποιούμενος τὸ ἀλλότριον· ἐκ τοῦ σφέτερος· σφετερίζω· τὸ δὲ σφέτερος ἐκ τῆς σφῶν γενικῆς· τοῦ τρίτου προσώπου· σφετερίζω·

Σφήκωμα· τὸ ἰδιοποιούμενον καὶ ἀλλότριον· παρὰ τὸ σφηκῶ· σφηκώσω· τοῦτο παρὰ τὸ σφῶ· σφίγω· σημαίνει δὲ τὸ κρατῶ· οὗ ὁ παρακείμενος ἔσφικα· ἔσφιμαι· ἔσφιγαι· καὶ κατὰ πλεονασμὸν τοῦ κ· σφήκω· κατὰ συστολὴν τῆς ἀρχούσης·

Σφίγγα. ἀψὶς. κρικέλλιν.

Σφόδρα. ἀπὸ τοῦ σφῶ τὸ κρατῶ.
καὶ τοῦ δρῶ· τὸ ποιῶ· φόδρα· καὶ
σφόδρα· σημαίνει τὸ πολύ. ἢ ἀπὸ
τοῦ σπῶ σπόδρα· καὶ σφόδρα· καὶ
εἰς τὸ πρῶτα.

Σφοδρῶς ἐπίρρημα μεσότητος ἀπὸ
τοῦ σφοδρῶς ὀνόματος ἢ σφοδρά καὶ
τὸ σφοδρόν.

Σφραγίζω. ἐκ τοῦ σφραγίς. τουτοδὲ
ἐκ τοῦ ἀσφαλής. καὶ κατ' ἀφαίρε-
σιν. σφαλής. καὶ μεταθέσει τοῦ
λ. εἰς ρ. καὶ ἐν ὑπερβιβασμῷ.
τοῦ ρ. καὶ πλεονασμῷ τοῦ γ. σφρα-
γίς. τὸ δὲ ἀσφαλὴς ἐκ τοῦ σφάλλω.
σφαλὴς καὶ ἀσφαλὴς μετὰ τοῦ στε-
ρητικοῦ α. ὁ μὴ ἐσφαλμένος.

Σφραγίζω. παρὰ τὸ φράζω. πέ-
φρακα. ὁ μέσος παρακείμενος
πέφραγα. καὶ ἐξ αὐτοῦ κατὰ πλε-
ονασμὸν τοῦ σ. σφραγίζω. καὶ
ἐκ τούτου σφραγίζων. ἐξ οὗ καὶ
τὸ ἐπισφραγίζων.

Σφραγὶς σημαίνει τὸ δακτύλιον. τὸ σφραγίζω. ὁμοίως καὶ τὸ σιδηροῦν.

Σφραγίς. παρὰ τὸ σφραγίζω. σφραγίσω. ἀποβολῇ τοῦ ω σφραγίς. τοῦτο ἐκ τοῦ σφάλλω. σφαλίς. καὶ ὑπερβιβασμῷ σφαγίς. πλεονασμῷ τοῦ γ. καὶ τροπῇ τοῦ λ. εἰς ρ. γίνεται σφραγίς. σφρηγὶς καὶ σφραγίς. σφαγίζω. ἐκ τοῦ σφραγίς. τοῦτο ἐκ τοῦ σφαλίς.

Σφριγῶντες. νεάζοντες σφριγᾶν γὰρ τὸ νεάζειν.

Σφριγῶσιν. ἀκμάζουσι. καὶ ὥσπερ διεσφηνωμένοι. εἰσὶν ὑπὸ πυκνότητος. καὶ ἀκμῆς. καὶ παρ᾽ ἱπποκράτει δὲ σφριγᾶν. τὸ ἀκμάζειν λέγεται. δηλοῖ δὲ τὸ περιτέτανται ἢ περιτείνονται. καὶ μάλιστα ἐπὶ θηλῆς. καὶ οἷον ἐσωματοῦσιν. ἔνιοι σφύζουσιν. ὑγιεῖς τυγχάνουσιν

Σφαραγεῖτο. ἦχον προΐετο.

ὀνοματοπεποίηται ἡ λέξις. ἔνθεν ὁ βρόχος ὁ τὴν φωνήν. ἀσφάραγος καλεῖται.

Σφυγμός παρὰ τὸ σφύζω. τὸ σημαῖνον τὸ ἅλλομαι.

Σφυρόν. τὸ ἐπάνω τῶν ἀστραγάλων ἐν κύκλῳ. πέλμα. παρὰ τὸ συνεσφίχθαι τὰ ἄρθρα τῇ συνθήκῃ. καὶ τοῖς νεύροις.

Σφυρά τὰ ἀπολήγοντα μέρη πρὸς ἀστράγαλον. καὶ ἐκ πλαγίων ἐξέχοντα. τῆς κνήμης. καὶ τῆς πτέρνης. εἴρηται δὲ μεταφορικῶς. ἐπὶ τῶν χαλκευτικῶν σφυρῶν.

Σφύρειον καὶ ἐπισφύρειον κτητικόν. καὶ γίνεται ἐκ τοῦ σφυρόν. σφύρειον καὶ ὁ ποιητής.

ἀμφὶ δὲ μνια σφυρὰ τέθηκε.

διατί προπαροξύνεται. τὰ διὰ τοῦ ιον ὑποκοριστικά. εἰ μὲν ὦσι δικατάληκτα. πρὸ μιᾶς ἔχουσι τὸν τόνον. εἰ δὲ τριβραχέα. προπαροξύνεται. οἷον θρόνιον. τόπιον. οὕτω καὶ σφύρειον. τὸ ει. τ. διατί.

τὰ διὰ τοῦ ιον ὀνόματα οὐδέτερα τριβραχέα. καὶ προπαροξύνεται καὶ διὰ τοῦ ι. γράφεται.

Σφωέ. αὐτούς. ἢ τοὺς δύο. ἀντωνυμία τρίτου προσώπου. αἰτιατικῆς μόνης. τοῦτο δὲ ὀξύνεται καὶ ἐγκλίνεται. καὶ ἀναδίδει τὸν τόνον. πληθυντικῶς δοτικῆς οὐκ ἔστιν. ὀρθὴ καὶ αἰτιατική πληθυντική. οὐδέποτε ἀναδίδει τὸν τόνον. οἷον νῶϊ. σφῶϊ. τοῦτο δὲ ὀξύνεται. διὸ ἀπέλειψεν. ἡ εὐθεῖα. καὶ ἔστι μόνης αἰτιατικῆς.

τὸ σ. μετὰ τοῦ χ.

Σχέδιον. τὸ ἐξ ἑτοίμου καὶ προχείρου γινόμενον.

Σχέδιος. ἐκ τοῦ σχεδὸν ἐπιρρήματος. καὶ γράφεται διὰ τοῦ ι. ὡς τὸ μινυνθάδιος. τὰ γὰρ διὰ τοῦ ιος. προπαροξύτονα. παρ' ἐπιρρήματος γινόμενα. διὰ τοῦ ι γράφεται. σχεδὸν σχέδιος. σχεδιάζω.

σχεδὸν. παρὰ τὸ σχέθω τὸ κωλύω.

σχεθοῦ καὶ σχεδόν· σημαίνει δὲ τὸ ἐγγύς.
ἐτυμολογεῖται δὲ παρὰ τὸ σχεδίως
ἔχειν ἄλλος πρὸς ἄλλον.

Σχέθω· εἰς τὸ σκέπω· καὶ σκότος
καὶ σχεδόν· καὶ σχέτλιος.

Σχεδέα· εἶδος πλοίου τῆς αὐτο
σχεδίως πηχθείσης· σχεδία γὰρ οὐκ
ἔχει πηδάλιον

Σχέσει φιλίᾳ· ἐγγύτητι· παρὰ
τὸ σχεῖν ἐκεῖθεν καὶ τὸ προσχεῖν·
παρὰ τὸ ἐγγὺς εἶναι.

Σχετλιαστικά· ἀπὸ τοῦ σχῶ τὸ
κρατῶ· καὶ τοῦ τλῶ· τὸ ὑπομένω.

Σχέσις ἡ ἐγγύτης· ἡ ἀγάπη· καὶ
σχέσις ἡ κράτησις.

Σχέτλιος· ὁ ἀγνώμων· ὁ ἄδικος·
παρὰ τὸ σχέθω· τὸ κωλύω· καὶ
τὸ λίαν· ὁ ἐπισχέσεως ἄξια ἔργα
ποιῶν.

Σχετλικόν· τὸ πρός τινα ἕτερον
σχέσιν καὶ ἐγγύτητα· τὰ δὲ σχετι-
κὰ τῶν πρός τι λέγεται.

Σχέσις· μετουσία· συνάφεια.—

χέσιν δὲ λέγομεν· τὴν πρὸς τὸ δεξιὰ θέσιν καὶ συνήθειαν· σχέσις δὲ ἡ ἐκ τόπου καὶ εἰς τόπον καὶ ἡ ἐν τόπῳ ἴστεον ὅτι τῶν ἀνθρώπων σχέσεις. εἰσὶν ἕξ· τοὺς πρώτους πρὸς τοὺς τρεῖς· ὡς εἶναι τρεῖς τῶν σχέσεις τοῦ δευτέρου πρὸς τοὺς δύο. εἶναι πέντε· τοὺς τρεῖς πρὸς τὸν ἕνα· καὶ συμβαίνει τῶν τεσσάρων ἔχειν τὰς σχέσεις· τῶν δὲ πέντε ἀνθρώπων δέκα εἶναι τὰς σχέσεις·

Σχῆμα· παρὰ τὸ σχέσω γίνεται.

Σχοίατο· ὡς τὸ δεχοίατο· σχοῖτο· ἀπόσχοιτο· διατί ἀνεβίβασε τὸν τόνον· τοῦ δευτέρου μέσου ἀορίστου δισύλλαβα· ὑπάρχοντα· κατὰ τὸ δεύτερον πρόσωπον διὰ τοῦ σο ἐκφερόμενα· οἷς ἀκολουθεῖ καὶ τὸ τρία πρόσωπα· ἀναδίδωσι τὸν τόνον· οἷον λοῖτο· ἀπόλοιτο· σχοῖτο ἀπόσχοιτο· καὶ τὰ ἀκολουθοῦντα ἐσχηματισμένα, τότε πρόσοιτο·

καὶ κάθοιτο. καὶ εἰς τὸ δεσοίατο.

Σχοῖνος. ὄνομα. παρὰ τὸ χῶ. τὸ κρατῶ. καὶ ἐκ τούτου χόνος. καὶ πλεονασμῷ τοῦ ι. χοῖνος. καὶ ἐκ τούτου ὄνομα χοινίον. σημαίνει δὲ τὸ βρούλον.

Σχοινίον. ἐκ τοῦ χόμενος. τοῦτο παρὰ τὸ χῶ. τὸ κρατῶ.

Σχοίνισμα ὁ κλῆρος. καὶ μέτρον ὁδοῦ παλαιόν. παρὰ τὸ χοινίῳ κρατεῖται. καὶ μετρεῖται τὴν γῆν.

Σχιμάς. παρὰ τὸ χιμώ. ἢ παρὰ τὸ χίζω.

Σχοινοφόρος. ἐκ τοῦ χοῖνος καὶ τοῦ φέρω. τὸ δὲ χοῖνος. παρὰ τὸ χῶ χέω. σημαίνει δὲ τρία. τὴν πόαν. πρόσωπον δίκοντο βαθύχοινον. καὶ μέτρον γεωμετρικόν. πρεσβικόν ὃ καὶ πέρσαις παρασάγγης καλούμενος. λέγεται δὲ ἀπὸ μεταφορᾶς καὶ ἡ κατευθυντηρία. καθὼς καὶ ὁ ψαλμῳδὸς φησί. τὴν τρίβον μου καὶ τὴν χοῖνον

μου σὺ ἐξιχνίασας. τὸ σχοι δίφ-
-θογγον. διατί. τὰ διὰ τοῦ οινος
δισύλλαβα διὰ τοῦ ῦ ψιλοῦ γράφε-
-ται. οἷον λεῦνος. φεῦνος. πλὴν
τοῦ σχοίνος.

Σχολάζω. παρὰ τὸ σχῶ. τὸ κρατῶ.
σχάζω. καὶ ἐξ αὐτοῦ γίνεται σχολά-
-ζω. καὶ τροπῇ τοῦ ᾱ. εἰς ō σχο-
-λάζω. τὸ ἐν τῇ διακρατήσει διά-
-γω. ἐκ τούτου γίνεται σχολή. καὶ
σχολαστικός.

Σχολαιότερον. ἠρεμαιότερον.
ἀπὸ τοῦ σχολή. σχολαῖος. ὥσπερ
ῥώμη ῥωμαῖος. ἀπὸ δὲ τοῦ σχο-
-λαῖος. σχολαιότερος. τὸ δὲ σχολὴ
παρὰ τὸ σχῶ. συντάσσεται μετὰ
αἰτιατικῆς. ἔστι δὲ ἐπίρρημα
ἀντὶ τοῦ ἠρέμα.

Σχολαστικός. διὰ τὸ σχολάζειν
τοῖς ἀστικοῖς ἢ τῷ δικαίῳ.

Σχολή. οὐχ ὁ τόπος ἐν ᾧ σχολάζου-
-σι περὶ παιδείας· οὐδ᾽ αὐτὴ ἡ

ἐν λόγοις ἀμουσία. καὶ διατρι:
:βή. ἀλλ' ἡ οἱ πολλοὶ καλοῦσιν
ὀκνηρίαν.

Σχολή. ἡ ἀργία.

Σχολεῖον. διὰ τὸ σχολάζειν τῇ
διδαχῇ.

Σχολεῖον. διὰ τὸ κατὰ σχολὴν
πλειστίθεσθαι. πρὸς σαφεστέραν
ἑρμηνείαν τῶν συννοημάτων. ὀνο:
:μάτων ἢ ῥημάτων ἐπὶ τοῖς λο:
:γίοις σωφρόνως δικαίως.

Σχόμενος. καὶ ἀνασχόμενος. τὸ
ῥῆμα σχῶ μέσον παρακείμενον
οὐκ ἔχει. τὰ γὰρ μονοσύλλαβα
ῥήματα. μέσον παρακείμενον οὐκ
ἔχουσι.

τὸ Σ. μετὰ τοῦ ω.

Σῶ. εἰς τὸ ἐπέσσυτο. καὶ ἐπι:
:σωρεα. καὶ ἔσωσε. καὶ σαωτῆρος
καὶ σῦς.

Σωκράτης. ἀπὸ τοῦ σώω. ὁ—

σημαίνει τὸ ὑγιαίνω. καὶ τὸ κρατῶ.

Σῶμα. παρὰ τὸ σῆμα. ὃ σημαίνει τὸν τάφον. τάφος γάρ ἐστι τὸ σῶμα τῆς ψυχῆς. τροπῇ τοῦ η. εἰς ω. ὁσονεὶ. σῆμα καὶ τάφος. τῆς ψυχῆς Ἀρίσταρχος. δὲ σημειοῦται τοῦτο τῇ διπλῇ. σῶμα οὐδέποτε λέγεται ὧδε ἐπὶ ζώντων. ἀλλ' ἐπὶ νεκρῶν.

Σῶμα.

δ' οἴκαδ' ἐμὸν δόμεναι. πάλιν. ἐπὶ σώματι κόρσας. τὸ δὲ τοῦ ζῶντος δέμας. δεῖται γυναικὸς παρὰ τὸ σω δέδοσθαι αὐτό. ὅθεν καὶ σύνωμα.

Σῶμα. διὰ τὸ σῶον εἶμα. ἢ ἅμα. ἢ παρὰ τὸ σῆμα. ὃ σημαίνει τὸν τάφον κατὰ Πλάτωνα. τάφος γάρ ἐστι τὸ σῶμα τῆς ψυχῆς. δίκην γὰρ τάφου ἐνθάπτεται ἡ ψυχὴ τῷ σώματι. τροπῇ τοῦ μακροῦ εἰς μακρὸν γίνεται σῶμα. δέμας δὲ λέγεται ἐπὶ ἐμψύχου.

σῶμα δὲ ἐπὶ ἀψύχων. ὁ δὲ ποιη-
-τὴς εἰπών.

ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας.
τὸν ἐναντίον εἴρηκε. καὶ εἶπε τὸ
σῶμα ἐπὶ ἐμψύχων. φασὶ γὰρ τὸν
λέοντα. νεκροῦ σώματος μὴ ἅπτεσθαι.
τὸ δὲ

— μεγάλῳ ἐπὶ σώματι κύρσας.

ἔστιν ὁ τρόπος ἀντίπτωσις. ἀντὶ
τοῦ μεγάλου σώματος ἐπιτυχών.
Σῶμα. διὰ τὸ σῶον αἷμα. σωαιμά-
τιον. σῶον αἷμα. ἐν τῷ ἅμα εἶναι
τὰ μέρη.
Σωρός. ἀπὸ τοῦ ἐν αὐτῇ σωρεύεσθαι
τὰ σώματα. ἢ παρὰ τὸ ἔσω ὠρεῖν
ὅ ἐστι φυλάττειν. σωρεύω. σορός.
ὡς φωλεύω. φωλεός.
Σορός. ἡ τῶν λειψάνων. ἢ παρὰ
τὸ σεσωρευκέναι τὰ σώματα ἐν αὐτῇ
ἢ παρὰ τὸ εἴργω. τὸ κωλύω. ἡ
κωλυτική.
Σορὸς ἡ τοῦ σώματος εὖνις. σωρὸς
ἐν ᾧ τὸ σῶμα ἐστί. ἤτοι κατακεῖται.

Σωρεία· ἐκ τοῦ σῶ καὶ τοῦ ὠρῶ· τὸ
φυλάσσω.
Σῶσόν με· τοῦ ῥῦσαί με· διαφέρει.
Σῶσον νόσων καὶ πειρασμῶν· ῥῦσαι
αἰχμαλωσίας καὶ τῶν δαιμόνων· ὦρος.
ἐπὶ τῶν λίθων καὶ σίτου· λοιπῶν
τῶν συναγομένων· τὸ σῶ μέγα.
ἐπὶ δὲ τοῦ τάφου τὸ σο μακρόν.
πρὸς ἀντιδιαστολὴν τοῦ ἐπὶ τῶν
λίθων καὶ ἐκείνου διὰ τοῦτο.
Σωτηρία. διὰ τὸ σῶον τηρηθῆναι.
Σωφροσύνη· διὰ τὸ σῶα φρονεῖν.
ἢ παρὰ τὸ σῶμα φρουρεῖν· ἀπὸ
εὔπου καὶ εἰς τὸ παρθενίαν.
Σώφρων· ὁ ἀπαθής. πόρνος δὲ
ταῖς ἡδοναῖς ἁλισκόμενος· τοῖς δὲ
λογισμοῖς ὑπεραγωνιζόμενος.
Σῶ· σημαίνει ἕξ· σῶ· τὸ κινῶ.
σῶ· τὸ ἕλκω. σῶ· τὸ ὑγιαίνω.
σῶ· τὸ σείω. σῶ τὸ σώζω· σώζονται
σῶ· σῶος.

## Ἀρχὴ τοῦ Τ στοιχείου

### τὸ Τ μετὰ τοῦ Α.

Τά· εἰς τὸ ἤτοι.

Τάζω· εἰς τὸ οἴσοι.

Ταίγε· ἄρθρον· εὐθείας τῶν πλη:θυντικῶν· δωρικῶς· καί λέγομεν ὅτι τὰ σύμφωνα· ἅπερ ἔχει ἡ εὐ:θεῖα τῶν δυικῶν· θέλει ἔχ''. καί ἡ εὐθεῖα τῶν πληθυντικῶν. οἷον Αἴαντε· ἔχει τὸ ν. τ· καί αἴαντες. λάχητε· λάχητες· ὁμοίως καί ἐπί τῶν ἄρθρων· τώ ξύλα· ἤτοι ὁμοῦ καί τὰ μῦσα· ταί μῦσαι· καί τὰ παι· τὸ γε σύνδεσμος παραπλη:ρωματικός.

Τάγηνον· τήγανον.

Τακείς· ἐκ τοῦ τήκω· ὁ δεύτερος ἀόριστος ἔτακον· ὁ παθητικός ἐτάκην· ἡ μετοχή ὁ τακείς.

Ταβερνία· καπηλεῖα.

Ταβελλίων. ὁ συγγραφεύς.

Ταίνιον Ἀττικῶς. τὴν στηθοδέσμην.
τουτέστι περιτραχήλιον δέσμιον.
κόσμος παρὰ τὸ ταίνω ῥῆμα. ὅπερ
διπλασιαζόμενον γίνεται τιταίνω.

Ταινία. διάδημα κεφαλῆς ἱερέων.
τὸ ῥῆμα ταινιῶ.

Ταλαίμοχθος. ταλαίπωρος. ὁ
ἐπίπονος λέγεται. ὡς Διογενι-
-ανός. παρὰ τὸ τάλας τὴν ὥραν
ταλαίωρος. καὶ ταλαίπωρος. ὁ
κακοπαθῶν ἐργασίαν τῶν πρχ.

Τάλαντον. τὸ ὑπερβάλλον πᾶν
σταθμιζόμενον μέτρον. κατὰ δὲ
τὸν λιτρισμόν. ἐκ̄ε λιτρῶν ὑπάρ-
-χει. τοῦ δὲ ταλάντου τὸ ἑκα-
-τοστὸν εἰκοστὸν πέμπτον, λίτρα
μία. ἡ δὲ μία λίτρα. ιβ οὐγκιῶν
ὑπάρχει. ἡ δὲ οὐγκία ἔχει. στατῆ-
-ρας δύο. ὁ δὲ στατήρ. ἥμισυ μέν
ἐστιν οὐγγίας. ἔχει δὲ δύο δίδραχ-
-μα τάλαντα. καὶ τάλαντον ἡ

στάθμη· λέγεται τάλαντον· καὶ
ταλαντεύειν τὸ σταθμίζειν· καὶ ζυ-
γοστατεῖν· τάλαντον σημαίνει
τέσσαρα· τὸ ζύγιον· τὴν στάθμην·
τὸ βάρος· τὸ χάρισμα·

Τάλαντον· τὸ ζύγιον· παρὰ τὸ
ταίνω ῥῆμα· ὅπερ κατὰ διπλασι-
ασμὸν τιταίνω· καὶ ὡς ὑφαίνω
φαντός· καὶ ἄφαντος· χραίνω
χραντός καὶ ἄχραντος· οὕτω καὶ
ταίνω· ταντός· καὶ ἐξ ἑτέρου τα-
τόν· καὶ πλεονασμῷ, ἀταλλ·
ὁ μὴ κακοπαθῶν·

Ταλαίπωρος· παρὰ τὸ τάλας·
καὶ τὸ πηρός· ὃ σημαίνει τὸν
τυφλόν· ταλάπηρος

Τάλαντον· παρὰ τὸ τείνω
τὸ ἕλκω· γίνεται ταντόν·
καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς
τάλαντον· ἔστι σταθμὸς ρ̅·κ̅·ε̅·
λιτρῶν·

Τάλας τάλαντος· ὁ κανών· τά

εἰς ας ὀνόματα περιττοσυλλάβως
κλινόμενα τειγανῆ διὰ τοῦ ντ
κλίνεται οἷον μέλαντος. οὕτως
οὖν καὶ τάλας. τάλαντος. ἢ δεῖ
σημείωσαι. ἐπεὶ ἅτινα διὰ τοῦ
ν. μόνου ἐκφέρεσθαι. προσκεῖται
περιττοσυλλάβως. διὰ τὸ μέγας
μέγα. καὶ λάας. λάα. τὸ θηλυκὸν
τάλαινα. τὰ διὰ τοῦ αινα ὑπὲρ
δύο συλλαβὰς προπαροξύτονα
διὰ τῆς αι διφθόγγου γράφονται.
οἷον μέλαινα. θεράπαινα. θέαι-
να. λέαινα.

Ταλαπείριος. ὁ ταλαίπωρος.
παρὰ γὰρ τὸ τῆλωθεν πεπερακέ-
ναι.

Ταλαπείριος. Ἀρίσταρχος μὲν. ἀντὶ
τοῦ ταλαίπωρος. τινὲς δὲ ἀντὶ
τοῦ ξένος καὶ πόρρωθεν πεπερα-
κώς. ἢ μακρόθεν ἀφιγμένος.

Ταλθύβιος. ὄνομα κύριον. κῆρυξ
ἑλλήνων. τὸ βι. ι. διατί. τὰ διὰ
τοῦ ιος κύρια ὑπερτρισύλλαβα—

προπαροξύνεται. καὶ διὰ τοῦ ι γράφεται. χωρὶς τῶν παρὰ τὸ κλέος. καὶ τῶν ἀπὸ τῶν εἰς εὺς διὰ τὸ βασίλειος.

Τάμεν. ἔκοψεν. ἀόριστος δεύτερος τὸ ῥῆμα τέμνω. τὸ δὲ τάμνω δωρικῶς.

ὄφρ' ὁ γέρ. ἵππιο παρηορ. ἀπέταμ. ὁ μέσος παρακείμενος, τέτομα. εἰ δὲ δύο ἀμετάβολ. διὰ τοῦ προτέρου.

Ταμεῖον. παρὰ τὸ ταμιεύω. τοῦτο παρὰ τὸ ταμίας. τοῦτο παρὰ τὸ τέμνω. ταμεῖον διὰ τῆς ει διφθόγγου. καὶ ἡ παρατέλευτος συλλαβή. ἡ δὲ δευτέρα διὰ τοῦ ι. ἐπεὶ καὶ ταμίας. καὶ ἀργυροταμίας.

Ταμίας ὁ φύλαξ. ὁ δεσπότης. κυρίως δὲ ὁ κελλάριος. παρὰ τὸ τέμνω. οἱονεὶ τὸ ἀποτέμνεσθαι καὶ ἀποκεχωρίσθαι καὶ ἀφορίσθαι αὐτῷ τὴν τοῦ οἴκου ἐξουσίαν.

Τανέως. ὄνομα βαρύτονον. γίνεται
δὲ παρὰ τὸ τείνω τὸ τανύω.
τέτακα. καὶ ἐξ αὐτοῦ τανέως. ἀκλι-
τόν ἐστι. σημαίνει δὲ ὄνομα τόπου.
ἐκτεταμένου παρ' ἑβραίοις. καὶ
πόθεν γίνεται τανέως. οὐκ ἔχει.
διατί. διότι ἐθνικόν ἐστι.

Τάπης παρὰ τὸ θάλπω θάλπης.
καὶ ἀποβολῇ τοῦ λ. καὶ μεταθέσει
τοῦ θ. εἰς τ. τάπης. σημαίνει δὲ
τὸ ἐπεύχιον.

Τάπητες. καὶ ἀμφιτάπητες διαφέ-
ρει. τάπητες μὲν ὅσοι εἰσίν. οἱ ἐκ
τοῦ ἑτέρου μέρους μαλλὸν ἔχοντες.
ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέ-
ρων τῶν μερῶν.

Τὰ ὡραῖα. ἐστὶν ὥρα. ὃ σημαίνει τὸν
ἐνιαυτόν. καὶ ἐκ τούτου γίνεται
τὸ ὡραῖον. τοῦ ὡραίου. οἷον διδόασι
κατὰ τὸν καιρὸν τὸν ἑαυτοῦ καρ-
πόν.

Ταράσσω παρὰ τὸ ἀράσσω. καὶ
πλεονασμῷ τοῦ τ. ταράσσω καὶ

ἐκ τούτου ταραχή.

Ταπεινὸς διὰ τῆς ει διφθόγγου. ὥς παρὰ τὸ ὄρος. ὀρεινός. παρὰ τὸ ἔδαφος γέγονεν ἐδαφεινός. καὶ κατ' ἀφαίρεσιν τοῦ ε δαφεινός. καὶ κατὰ τροπὴν τοῦ δ. εἰς τ. καὶ τοῦ φ. εἰς τὸ π. ταπεινός. ἢ παρὰ τὸ πέδον γέγονε πεδεινός. καὶ ἐν ὑπερβιβασμῷ τοῦ ε. εἰς τὸ α πεδεινός. καὶ τροπὴ τοῦ δ. εἰς τὸ π. ταπεινός. ἢ παρὰ τὸ πατῶ. γέγονε πάτος. οἱονεὶ ὁ πατούμενος τόπος. καὶ ἐκεῖθεν ταπεινός. καὶ ἐν ὑπερβιβασμῷ πατεινός. οἱονεὶ ὁ πᾶσιν ὑποστρωννύμενος. ἢ παρὰ τὸ τάπης. τάπιτος γέγονε ταπεινός. καὶ κατὰ συγκοπὴν πεινός. ἢ παρὰ τὸ τάφος. ταφεινός. καὶ ταπεινός. τὸ ει δίφθογγον. τὰ μέντοι εἰς νος ὀξύτονα. διὰ τῆς ει διφθόγγου γράφονται. εἰ μὴ καιρὸν σημαίνουσι.

Ταρ σύνδεσμος· ἰσοδύναμος τῷ ἄρα

Τάραντος· τάραχος ὄντος· ἢ ἐκ τοῦ τείρω· τὸ καταπονῶ· ἢ βλάπτω· ἢ καταπεπονημένη ἢ βλαβεῖσα.

Ταραχή· διὰ τὸ ῥᾶον χεῖσθαι· ταραχὴ καὶ ταραχώδους· ἡ εὐθεῖα ταραχώδης· παρὰ τὸ τάραχος· τοῦτο παρὰ τὸ τραχύς· τάραχος· ταρειχεύω· τοῦτο ἐκ τοῦ τάραχος·· τὸ ει· τ̄· διατί· τὰ εἰς χος οὐ θέλουσι τὴν ου δίφθογγον· σωτήρειχος· τάρειχος· σημαίνει δὲ τὸ λαρδίον.

Ταφὼν ἐκπλαγείς· θαυμάσας· ἐκ τῶν τάφων ἢ μεταφορά· καὶ γὰρ ὁρῶντες ἡμεῖς τοὺς τάφους ἐκπληττόμεθα τὸ μέλλον δεινόν. ταφὼν δὲ ἰωνικῶς λέγεται κατὰ τροπὴν τοῦ θ̄· ὡς τὸ αὐτό· τὰ γὰρ δασέα εἰς ψιλὰ τρέπουσιν· οἷον θαφὼν ταφὼν ὅμηρος·

Τάρβαρος φόβος· τρισὶ παραγωγαῖς

ὁ Ἡρωδιανὸς τοῦτο ὑπέβαλε.
πρῶτον ἐκ τοῦ ταράσσω τάραβος.
καὶ συγκοπῇ τάρβος. δεύτερον ὅτι
ἐκ τοῦ τρέπω. ὁ δεύτερος ἀόριστος
ἔταρπον. τάρπος. καὶ τροπῇ
τοῦ π. εἰς β. τάρβος. καὶ ῥῆμα
ταρβῶ. ταρβήσαντες.

Ταριχευτός. ἐκ τοῦ ταριχεύω.
τοῦτο ἐκ τοῦ τάριχος. τὸ ρι. ῑ.
τὰ εἰς χος ἢ θέλουσι τῇ ει διφ-
θόγγῳ παραλήγεσθαι. τὸ δὲ
τάριχος σημαίνει τὸ κεκαπασμένον
λαρίδιον. γίνεται δὲ παρὰ τὸ γάρος.
γάριχος καὶ τάριχος.

Τάρταρα. τὰ διήκοντα. μέχρι
τῶν ἐσχάτων τῆς γῆς.

Τάριχος. οὕτως ἡ χερσίς. Ἀλεξ-
ίων δὲ φησὶν ὅτι ἀπὸ τοῦ ἐν τῇ
ταριχείᾳ ἰσχναίνεσθαι. γελοίως.
ἡ γὰρ ταριχεία ἀπὸ τοῦ τάρι-
χος γέγονεν. ἴσως ὥς τινες. πα-
ρὰ τὸ τηρεῖσθαι καὶ ἴσχνεσθαι.

καὶ γὰρ ἰχὰς λέγεται. τὸ ἐπικεχυ-
μένον ὄγκον. καὶ ἰχὰς ἡ τάριχος.

Τάρπη. καὶ αὐτῶν βέλος ἕν. εἰς
τὰς τάρπας λέγειν· εἴπερ κοφί-
νους μεγάλους. ἢ ὑπὲρ φορτικὰ ἀγ-
γεῖα. παρὰ τὸ αἴρειν τι. αἴρω
ἀρῶ ὁ μέλλων. ἄρω. ἐξ αὐτοῦ ἄρη.
καὶ πλεονασμῷ τοῦ π ἄρπη. καὶ
τάρπη.

Ταρσός. στῆθος ποδός. ἀπὸ τοῦ
ἄρω τὸ ἁρμόζω. ὁ μέλλων Αἰολικῶς
ἄρσω. καὶ ἐξ αὐτοῦ ἀρσός. καὶ πλε-
ονασμῷ τοῦ τ. ταρσός. ἔστι καὶ
ὄνομα πόλεως. ταρσός. ἀπὸ τοῦ
ξηρὸν βαρκός εἶναι. οἷον τέρσος
καὶ ξηρὸς τόπος.

Ταρσὸς πόλις. κιλικίας. ἣν φασὶν
ὁ Περσεὺς. ἐκ τοῦ ἵππου κατελ-
θὼν καὶ πήξας τὸν ταρσὸν τοῦ
ποδὸς ἐν τῇ γῇ. ᾠκοδόμησε καὶ
ἐκάλεσεν αὐτὴν ταρσὸν ἐκ τοῦ
ἰδίου ποδός.

ταρσὸς ὁ καλαιλίβικος ὁ ἐν τοῖς

τυροκομοῦσιν ἐκτυπούμενος τυρός.
καὶ τάλαρος. καὶ ψυγός. καὶ ψυκτήρ.
διότι ἐν αὐτῷ τὰ γάλακτα ψύχεται.
Ταῦ. ὅτι τμημένη ἔχοι τοῦ στοίχου
τοῦ χαρακτῆρας. καὶ τὰς ἐκτυ-
-πώσεις. ἀπὸ γὰρ τῆς ἄνω μακρᾶς
καὶ τοῦ ι. τὸ γράμμα ἔστιν. ἔνθεν
καὶ ταώς. ὅτι τετμημένα ἔχων τὰ
πτερά. τὸν δὲ τοῦ ἀλλιροθίου
πέλεκυν. φησὶ μιμησάμενος ἐκ-
-τυπώσατο τὸ γράμμα.
Τεθνηκότα. θνήκω. ὁ παρακεί-
-μενος τέθνηκα.
Τάφος. ὅπου ἀποτίθενται τὰ
λείψανα. παρὰ τὸ θῶ. τιθῶ.
παράγωγον θάπτω. ῥηματικὸν δὲ
ὄνομα θάπτος. τροπῇ τοῦ θ.
εἰς τ. καὶ τοῦ π. εἰς φ. πε-
-ριττὸν γάρ ἐστι. τὸ τ ἐν τῷ
ῥήματι. οὕτω Φιλόξενος.
Ταῦρος. παρὰ τὸ γαίω. τὸ γαυ-
-ριῶ. γίνεται γαῦρος. καὶ τροπῇ
τοῦ γ. εἰς τ. ταῦρος ἢ παρὰ τὸ

ταύδω καί τό ὀυρά· ταυδουρός
τις ὢν. καί κατά συγκοπὴν ταυ:
:ρος· σημαίνει δέ δύο τό ζῶον· καί
τόν ὑπό τῶν ὀσχέων τόπον.

Τάφος· πόθην παρέχει. ἀπό τῆ
θάπτω γέγονε. καί κατά ἰωνικὴν
μετάθεσιν τοῦ θ. τοῦ δασέως εἰς
ψιλόν τ̄ τάφος· τόπος ἀφώτιστος.

Τάφρος ὄρυγμα. ὁ τάφος· παρά
τό ἀίρω τό κουφίζω. καί μετά τῆς
ἀπὸ προθέσεως ἀφαιρῶ· ἐξ αὐτοῦ
ἄφαιρος· καί συγκοπὴ ἄφρος· καί
κατά προσθήκην τοῦ τ̄ τάφρος.
παρά τό ἀφαιρεῖσθαι· ἐξ αὐτῆς
τό χῶμα.

Ταχινός· καί ταχινόν· ἐκ τοῦ τά:
:χα ἐπιρρήματος.

Τάχα· ἐπίρρημα μεσότητος· ἀντί
τοῦ ταχέως καί τάχιστα· ὁμοίως
βαρύνεται· διά τόν κανόνα τόν
λέγοντα· εἰς τό μῆρα ἔτω καί
τάχιστα· τό χι· ι· τάξις ὢν
συγκριτικά μεταβάντα εἰς ὑπερθε:
:τικά καί τά ἑξῆς.

τὸ Τ. μετὰ τοῦ Ε.

Τεθναίη. ἀντὶ τοῦ ἀποθάνοι.
εὐκτικόν. ἐστι τὸ ῥῆμα τέθνημι.
δευτέρας συζυγίας τῶν εἰς μι. ἐξ
οὗ ● καὶ τὸ προστακτικὸν τοῦ ἐνεστῶ-
-τος. τέθναθι. ὅτι δὲ ἐστιν ἐνεστῶς.
τὸ τέθναθι. δείκνυται ἐκ τοῦ βραχὺ
εἶναι τὸ ᾱ. ἦν γὰρ ἦν δεύτερος ἀό-
-ριστος. ὤφειλεν εἶναι μακρόν. ἀεὶ
γὰρ ὁ εἰς θι προστακτικὸς ἀόριστος.
μακρὰ παραλήγεται. λοιπὸν τέθ-
-νημι. ἡ μετοχή. τεθνάς τεθνάν-
-τος. καὶ τὸ εὐκτικὸν τεθναίην.
ὦ προῖτε. ἐκ τοῦ τεθνῶ. τοῦτο
ἐκ τοῦ θνῶ. καὶ κατὰ ἀναδιπλα-
-σιασμόν, τεθνῶ.

Τεθρυμμένου. σημαίνει. τὸ ῡ ψιλόν.
ἐκ τοῦ θρύπτω. θρύψω.

Τάφος σημαίνει τὸ γινόμενον
πῶς δεῖ ... παιανεῖν ἐπὶ
τῶν ἀρχομένων τιμή.

οὐ δέ κεν τάφου ἀντιβολήσειν
καὶ ὁ αὐτὸς ἀγὼν πατρόκλου τάφου

μνημήϊον αὐτοῦ ταφίου. οὐδέποτε δὲ αὐτὸν τοῦ καθ' ἡμᾶς σώματος ἐκτίθησιν. ἀλλὰ τύμβον αὐτοῦ τὸ μνῆμα. τίθησι καὶ ἐπὶ ἐκπλήξεως. τὴν λέξιν. τάφος δὲ λέγεται πάντως. ἀχαιούς. καὶ πόλις. ἡ νῆσος.

κεῖνος δ' οὗτος ἐμὸς πατρώϊος ἐκ τάφου ἐστί. καὶ μνημεῖον τοιοῦτον.

τείρεα τὰ ἄστρα. παρὰ τὸ εἴρω τὸ λέγω. γέγονεν εἴρεα. πλεονασμῷ τοῦ τ. τείρεα. καὶ γὰρ ἄστρα σημαίνει τινὰ σημασίαν. ἢ παρὰ τὸ τέρας. τὸ σημεῖον. σημαντικὰ γὰρ ἐστὶ τῶν μελλόντων. ἢ παρὰ τὸ τείρω τὸ καταπονῶ. πολλοὶ γὰρ ἐκ τῶν ἄστρων κατεπονήθησαν. καὶ γεγόνασιν ἀστρόβλητοι. ὥσπερ καὶ ἐμβρόντητοι. τὸ τει δίφθογγον. τερῶ γὰρ ὁ μέλλων. προσέτειρέ με.

Τεῖσις ἡ ποινή. ἀπὸ τοῦ τίω. τίσις δὲ ἡ τιμή. ἀπὸ τοῦ τίω.

Τήρω· εἰς τὸ ἀταρτηρός· καὶ ἀτηρής· καὶ ἀτέραμνος· καὶ τέραυλος καὶ τάρβος· καὶ τέρας.

Τειχεσιπλήτης· ὁ πάντα τοῖς τείχεσι προσπελάζων· πορθητής. ἐὰν δὲ διὰ τοῦ β γράφηται· ὁ τὰ τείχη καταβάλλων.

Τεῖχος· παρὰ τὸ τεύχω· τὸ κατασκευάζω· γέγονε τεῦχος· καὶ τεῖχος· τροπῇ τοῦ ῡ· εἰς ῑ.

Τέκνον· ὅτι ὑπὸ τῶν γονέων ἐτέχθη· τέκνον· τέκω· τέκανον· καὶ ἀποβολῇ· τοῦ ᾱ· τέκνον· τέκω. παρὰ τὸ τέκος· τέκος· ὡς νέμω· νόμος· οὕτω καὶ τέκνον.

Τεκμηριοῦσθαι· σκέπτεσθαι· φράζεσθαι· ἀπὸ τοῦ τεκμηριῶ· τοῦτο παρὰ τὸ τέκμαρ· τέκμαρος· τεκμαρῶ· καὶ τροπῇ τοῦ ᾱ· εἰς η̄· τεκμηριῶ. τὸ δὲ τέκμαρ παρὰ τὸ τέκω· τέκμαρ· τέκμωρ· καὶ σημαίνει σῶμα· τέκνον· καὶ τὸ σημεῖον· συντάσσεται μετὰ αἰτιατικῆς καὶ εἰς τὸ σημεῖον.

Τείρω· σημαίνει δύο· τείρω· τὸ καταπονῶ· ἐκ οὗ ἄτειρος· καὶ ἀτειράμων· καὶ τείρω· τὸ δαμάζω.

Τείρεα ἄστρα· παρὰ τὸ τείρειν κατὰ τὸ τέλος· σημαίνει τέσσαρα· τὸ πέρας καὶ τὸ τέλος· τὸ διδόμενον τῷ βασιλεῖ· καὶ τὸ δαπάνημα· ὅθεν καὶ πολυτελής· τὸ πολυανάλωτον· τὸ διὰ τὴν ἀρχήν· ἤτοι τοῦ ἄρχειν· οἱ ἐν τῷ τέλει καὶ ἀξιώματι.

Τελαμών· ὁ ἀναφορεὺς τοῦ ξίφους· παρὰ τὸ ταλάσω· ταλαμών· καὶ τροπῇ τοῦ α εἰς ε τελαμών· καὶ ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὅ ἐστι πλατὺς ἱμάς· ἀφ' οὗ ἤρτηται ἡ ἀσπίς· ἀπὸ τοῦ τείνεσθαι τὸν ἱμάντα.

Τελεῖ· καθ' ἡμᾶς· τέλειος γὰρ ὢν εἵμα ἐκ τοῦ τέλος· τελῶ· τὸ τέλος· παρὰ τὸ ἕω· τὸ πληρῶ· ἕλος· καὶ τέλος· τὸ τέλος σημαίνει τρία· τὸ τάγμα.

Αἶψα δ' ἐπὶ θρηικῶν τέλος ἷξον ἰόντες.

σημαίνει δὲ τὸ πλήρωμα.

Οἱ δ' οὔτοι τόσον εἶχον τέλος.

σημαίνει δὲ καὶ τὸ πρᾶγμα.

ὃ γὰρ ἐγὼ φημὶ χαριέστερον ἀλλοτελήιων. ἡ μετοχὴ ἐκ τοῦ τελήιω ῥήματος. τὸ δὲ τελήιω παρὰ τὸ τέλος. ὥσπερ καὶ τὸ μαίω.

Τειρεσίας ὄνομα κύριον. μάντεως. ἢ παρὰ τὸ τείρεα. ὃ σημαίνει τὰ ἄστρα. πολλὰ γὰρ οἱ μάντεις ἐκ τῶν ἄστρων προλέγουσιν. ἢ παρὰ τὸ τείρεσθαι τὸ καταπονεῖσθαι. πολλὰ γὰρ οἱονεὶ ὁ καταπονούμενος ἐκ τοῦ στερεῖσθαι τῶν ὀφθαλμῶν τυφλὸς γὰρ ἦν.

Τελήιω. βαρύνεται. ἐξ οὗ καὶ

—— ἐτελείετο βουλή.

τὰ γὰρ τοιαῦτα παράγωγα ἀπὸ τοῦ παρατατικοῦ κλίνονται. κατὰ πᾶσαν ἔγκλισιν. καὶ διὰ τῆς ει διφθόγγου γράφονται. οἷον.

κιχῶ· κιχείω· θῶ· θείω· σῶ· σείω·
τελῶ· τελείω· ἰστέον δὲ ὅτι ἀπὸ
τοῦ ἐνεστῶτος· γίνονται καὶ ἀπὸ
τοῦ μέλλοντος· καὶ τὰ μὲν ἐνεστῶτα
ἔχουσι καὶ παρατατικόν· τὰ δὲ
ἀπὸ μέλλοντος· ἐνεστῶτα μόνον
ὅθεν σεσημείωται· τὸ ὄψει· ἀπὸ
τοῦ ὀψείω· τελῶ· τελείω· τὰ εἰς
ω λήγοντα καθαρά· παραλήγεται
τῇ ει διφθόγγῳ· βαρύνεται· εἰ δὲ
τὶ περισπᾶται· τοῦτο παρ' ὀνό-
ματος ἐγένετο· σείω· βρωσείω·
τελείω· τὸ μέντοι μειῶ· παρὰ
τὸ μεῖος· καὶ τὸ τελειῶ παρὰ
τὸ τέλος· καὶ τὸ ἀρειῶ· σημαίνει
δύο τὸ ἀπειλῶ· παρὰ τὸ ἄρης·
καὶ τὸ ἀχρειῶ· παρὰ τὸ ἀχρεῖος·
Τελχῖνος· οὐ μόνον ὁ ἴχωρ ὑπὲρ
ἄνθρωπον ἔχων· μιαρὸς καὶ κα-
κοῦργος· ἀλλὰ καὶ τοὺς νῦν κρῆτας·
καὶ τοὺς κρητῶν τελχῖν· φασί·
λέγονται δὲ τελχῖνες· οἱ πονηροὶ
καὶ βάσκανοι δαίμονες· λέγεται

τελχίν. καὶ ἡ εἰς θάνατον κατα-
φορά. καὶ τελχὶν λέγεται ὁ τρα-
χυλιώδης. γέγονε δὲ παρὰ τὸ θέλ-
γω. τὸ ἐντρεχῶ. ἤγουν τὸ ἀμαυρῶ.
καὶ σκοτίζω. οἷον θελγῖνες τινές.

Τελήεις. τὰ εἰς ης ὀνόματα,
πόδας παραλήξεις ἐπιδέχονται.
ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων. ὅτι
τὰ εἰς ης ὀνόματα, ἃ πλεονάζει
τῆς τοῦ πρωτοτύπου συλλαβῆς
βαρύνονται. καὶ ἢ τῷ α παρα-
λήγεται. ἢ τῷ ο. σπανίως
δὲ τῷ η. ὅτι εἰ ἐκτάσει. οἷον
κητώεις. ἐρώεις. κιώεις. τῷ δὲ
οἷον αἱματόεις. τρεμόεις. καὶ
ὅμηρος.

ὀνεῖα τε σκιόεντα.

καὶ θυόεις. ὅθεν σημαίνει τὸ μυρεψ-
ικὸν ἄνθος.

Τελώνης. τέλος τῆς ὠνῆς. ἤγουν
τῆς ἀγορασίας.

Τελώνιον. τόπος τῶν τελωνῶν.

Τελώνης. παρὰ τὸ τελῶ. ὁ σημαίνει

τὸ δίδωμι τῷ βασιλεῖ. καὶ τὸ ὠνῶ. τὸ ἀγοράζω. ὁ τὰ δημόσια ὠνούμενος. ἢ ὁ τὴν ἀρχὴν τοῦ δημοσίου ὠνούμενος.

Τελώνης. ὁ φορολόγος. τὸ λῶ. μέγα. διατί. τὰ μέσον δύο ἀμεταβόλων ἢ δύο συμφώνων τῶν αὐτῶν, ἢ μέσον ψιλῶν καὶ ἀμεταβόλων. διὰ τοῦ ω μεγάλου γράφονται.

Τέμενος. ἐκ τοῦ τέμνω. τέμνος. καὶ ἐπενθέσει τοῦ ε. τέμενος. ὁ ἀποκεκομμένος. καὶ ἀποκεχωρισμένος τόπος τῶν θεῶν.

Τέμπη. τὰ μεταξὺ τῶν Θετταλίας ὀρῶν. παρὰ τὸν ὄλυμπον καὶ τὴν ὄσσαν στενά. καθόλου δὲ αἱ ἐν πᾶσι τοῖς ὄρεσι στενοποὶ διεκβολαί. καὶ τὰ στενὰ τῶν ὀρέων. λέγεται δὲ καὶ τέμπη. καὶ τὰ σύνδενδρα πάντα. καὶ τὰ μεταξὺ τῶν ὀρῶν στενώματα ὄντα. οἱονεὶ τρέπη τινὰ ὄντα. τὰ μετατροπὰς καὶ κάμψεις ἔχοντα.

Τένθης. ὁ ὀξυπείνης. καὶ ὁ γαστρίμαργος. οἱ γὰρ Ἀττικοὶ τένθω καλοῦσι τὸν γαστρίμαργον κατ᾽ ἐναλλαγὴν ὅπω εἴρηται τοῦ θ. εἰς δ. ὅμηρος.

Τερπικέραυνον. ἐκ τοῦ τέρπω καὶ τοῦ κεραυνός. τὸ πι. ι. διατί. τὰ ἀπὸ βαρυτόνων μελλόντων ἢ ἐνεστώτων συνθέντα συμφώνου ἐπιφερομένου ἢ τὸ ι ἔχουσιν ἐν συνθέσει. ἢ τὸ ε ἢ τὸ ο. οἷον τέρπω. τερπικέραυνος. φέρω. φερέοικος. μένω. μενέλαος.

Τενάγω. οἱ ὑποκάθυγροι τόποι. παρὰ τὸ τέγγω τὸ βρέχω. γίνεται τέγγος. καὶ πλεονασμῷ τοῦ α τέναγος. τροπῇ τοῦ ἑνὸς γ. εἰς ν.

Τίος. τίνος χάριν ἔστι τινός. καὶ αἰολικῶς ἐκβολῇ τοῦ ν. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. πολλάκις ἀμείβουσι τοὺς τόνους. καὶ γίνεται τίος. ἡ γενικὴ τίου. καὶ κράσει τοῦ καὶ διαλύσει ἰωνικῇ. τέω. καὶ Δωρικῶς τεῦ. ἡ δοτικὴ τίῳ. καὶ κράσει τῷ. καὶ ἐν τοῖς τεσμασ-

τοῖς κατ' ἀναφορὰν γινομένοις πέφυκε προσέρχεσθαι κατ' ἀρχὴν μόριον· τὸ ο̄· ποῖος· ὁποῖος· πόσος· ὁπόσος· γίνεται ὅπω· καὶ ἔφοπω.

Τεόν· τὴν σήν· ἀντωνυμία· δευτέρου προσώπου ἐμόν· σόν· πλεονασμῷ τοῦ ε̄· ἑόν· καὶ τροπῇ τοῦ σ̄ εἰς τ̄· μεταθέσει καὶ τοῦ ε̄· τεόν.

Τένων· παρὰ τὴν τῶν νεύρων τάσιν· τένοντας δὲ πάντα τὰ διατεταμένα νεῦρα· ὅμηρος καλεῖ.

Τέρας· θαῦμα· παρὰ φύσιν· παρὰ τὸ εἴρω τὸ λέγω· ὁ μέλλων· ἐρῶ· ἔρας· καὶ τέρας· οἱ γὰρ μάντεις διὰ σημείων καὶ τεράτων τὰ μέλλοντα ἔλεγον· διαφέρει τέρας σημείω· τέρας λέγεται τὸ παρὰ φύσιν γινόμενον πρᾶγμα· σημεῖον δὲ τὸ κατὰ τὴν κοινὴν συνήθειαν γινόμενον τέρας.

Τέρετρα· πάντα τὰ διατρῆσαι δυνάμενα γομφοτρύπια καὶ τρύπανα

Τέρεινα τὰ ἁπαλὰ κατὰ κοινωνίαν τοῦ τ̄ πρὸς τὸ θ̄. θέρεινα. τὰ γὰρ ἁπαλά. ἐνθέρμα. τὰ δὲ σκληρά ἀ-τέραμνα.

Τερθρεία. φλυαρία. ματαιολογία. γοητεία. περιπάθεια. παρὰ τὸ τέρας. τέρατος. τερατεία. καὶ κατὰ συγκοπὴν τερτρεία. καὶ τροπῇ τοῦ τ̄ εἰς θ̄. τερθρεία.

Τερθρεύειν. ἔστι. σημαίνει δὲ τέρας καὶ ἐξ αὐτοῦ τερατεύω. καὶ πλεονασμῷ τοῦ ρ̄. τερατρεύω. καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ τ̄. εἰς θ̄. τερθρεύω. καὶ τερθρεύειν. σημαίνει δὲ τὸ φλυαρεῖν. καὶ ἐξ αὐτοῦ τερθρεία.

Τερπιός: παρὰ τὸ τέρπω. τερπός. καὶ πλεονασμῷ τοῦ ν̄. τερπνός. ἐτυμολογεῖται δὲ παρὰ τὸ τέρπει τὸν νοῦν.

Τέτηκα. ἐκτέτηγμαι. ὁ μέσος παρακείμενος. καὶ διαθέσεως μέσης. καὶ τί ἐστι μέση διάθεσις. ἢ ποτὲ μὲν ἐνέργειαν. ποτὲ δὲ πάθος—

παρίσωσα· καὶ τί παρισῶ· ἐπειδὴ ὁ τῶν μέσων τύπος· ἐπ' ἀμφοτέρας φθάνει τὰς διαθέσεις· καὶ οὐκ ἠρέμηκεν ἄρα ὁ τῶν μέσων τύπος φθάνει· καὶ ἐπὶ τῶν ἐνεργητικῶν χαρακτήρων καὶ ἐπὶ τῶν παθητικῶν. καὶ ἐπὶ τῶν παθητικῶν μέν· διὰ τὸ ἠκροασάμην· καὶ κατηυξάμην· παθητικοῦ γὰρ τύπου ταῦτα· ἐπὶ τῶν ἐνεργητικῶν· ὡς τὸ πέπνιγα· καὶ κέκοπα· καὶ ἄλλως· τὸ λέλογα· πέφρασα· ἐνεργητικὴν ἔχει σημασίαν· τὸ δὲ τέθνηκα καὶ διέφθορα· παθητικήν· οἱ αὐτοὶ γὰρ σχηματισμοὶ καὶ ἐπὶ ἐνεργητικῶν λαμβάνονται·

Πόθεν· Τετράς· παρὰ τὸ ἕδρας· διότι περιέχει ἐν ἑαυτῇ τὰ τρία.

Τέττιξ· παρὰ τὸ τερετίζω· τὸ μουσικῶς φωνῶ· ἢ παρὰ τὸ τερετίζω· τερέττιξ· καὶ κατὰ συγκοπὴν τέττιξ· ἔστι δὲ μουσικώτατον ζῶον· ὅτι οἱ ἄρσενες τῶν τεττίγων

ἄδουσιν.

Τετράς. πόθεν. παρὰ τὸ ἑδράς. οἱ-
ονεὶ ἡ ἑδραία. καὶ μόνιμος. διότι
περιέχει ἐν αὐτῇ τὰ τρία. λέγεται
δὲ καὶ πᾶς. διότι ἀποτελεῖ τὸν
δέκατον ἀριθμόν. τρεῖς γὰρ τρία.
ἐννέα. καὶ τὸ ἕν. δέκα. ἢ δὶς τέσσα-
ρες. καὶ τὸ τετρᾶστι.

Τετράς. οἱονεὶ ἑδράς τις οὖσα. τὰ
γὰρ τετράγωνα σχήματα ἑδραῖα εἰσίν.
ἀλλὰ καὶ πάντα τὰ σώματα ἐκ
τετρακτύος τῶν στοιχείων συνίστανται.
καὶ ἵδρωνται. ἰστέον ὅτι τὰ τετρά-
γωνον σχῆμα ἀποτελεῖ ἡ τετράς.
τὸ δὲ τετράγωνον σχῆμα, καὶ τὰ
ἀπ' αὐτοῦ. οἷον ὁ κύβος. διὰ τὸ
κατὰ πολλὰ μέρη τῆς γῆς ἅπτεσθαι.
δυσμόχλευτα εἰσὶ καὶ δυσμετακίνη-
τα. ὁ γὰρ τετράγωνος λίθος. ὡς
κατὰ πολλὰ μέρη τῆς γῆς ἁπτόμε-
νος. δυσχερῶς κινεῖται. ὁ δὲ κυλιν-
δρος. ἤτοι ὁ κίων ἐὰν κλιθῇ εἰς
πλευράν, καὶ εἰς σφαῖρα ἐπειδὴ οὐκ
ἐφάπτονται τῆς γῆς κατὰ πολλὰ

μένει συχνῶς κινοῦνται. ὁ μὲν γὰρ
κύλινδρος. τοῦ ἐπιπέδου ἐφάπτεται
κατὰ γραμμήν. ἡ δὲ σφαῖρα. καθ'
ἓν μόνον σημεῖον. διὰ τὸ ἑδραῖον
οὖν καὶ μόνιμον ἐκλήθη τετράς. οἱ-
-ονεὶ ἕδρας τις οὖσα.

Πόθεν τέτλαθι. ἐκ τοῦ τλῶ. τοῦ ση-
-μαίνοντος τὸ ὑπομένω. ὁ μέλλων
τλήσω. ὁ παρακείμενος τέτληκα.
ἀπὸ τοῦ ἐνεργητικοῦ δωρικῶς τετλή-
-κω. ἐκ τούτου παράγωγον εἰς μι.
τέτλημι.

Τετράφαται. τετραμμένοι εἰσί.
καὶ ἀπέβλεπον εἰς τὸ πεδίον.
τρέπω. τέτρεφα. τέτραμμαι. τρο-
-πῇ τοῦ ε. εἰς α. καὶ τέτραπται.
τέτραφθαι. τὸ ἰωνικὸν τετράφαται.
Τετρήχει. ἐτραχύνετο. παρὰ τὸ
ταράσσω. ταράξω. τετάραχα. ὁ ὑ-
-περσυντέλικος ἐτεταράχειν. καὶ
ἐν συγκοπῇ ἐτετράχειν. καὶ τροπῇ
τοῦ α. εἰς η. ἐτετρήχειν.

Τετρυχωμένος. δεδαπανημένος
ἐν κακοῖς. μετοχὴ ἐκ τοῦ τρύχω

τεύχω· περισπωμένου συζυγίας τρί-
της τῶν περισπωμένων· τὸ τεύχω.
ἐκ τοῦ τεῶ· τὸ κατατονῶ· τεύω κα-
τὰ παραγωγήν· καὶ πλεονασμῷ τοῦ
χ· τεύχω.

Τετύκοντο· παρεσκευάσαντο· καὶ τὸ
τέτυκται πόθεν· ἀπὸ τοῦ τεύχω· οὗ
ὁ δεύτερος ἀόριστος ἔτυχον· ὡς ἐλεύθω
ἤλυθον· ὁ παθητικὸς ἐτυκόμην· ὡς
τὸ ἔτυπτον ἐτυπτόμην. ἰστέον ὅτι
πολλάκις ἀναδιπλασιάζεται ὁ δεύτε-
ρος ἀόριστος γίνεται οὖν ἐτέτυχον.
τετυχόμην· τετυκόμεθα· τέτυχθε.
τετύχοντο καὶ τροπῇ· τοῦ χ· εἰς κ
τετύκοντο.

Τέτυκται· τεύχω· τὸ κατασκευάζω.
ὁ μέλλων τεύξω· τέτευχα· τέτευγ-
μαι· τέτευξαι· τέτευκται· καὶ ἀποβο-
λῇ· τοῦ ε· τέτυκται. σημαίνει δὲ
δύο· τὸ κατασκευάζω καὶ τὸ ἐπιτυγ-
χάνω.

Τετυρομένον· παρὰ τὸ τυρῶ· τυρώ-
σω· τετύρωκα· τετυρωμένον· παρὰ
τὸ τυρός.

Τεύχεα· ὅπλα παρὰ τὸ τεύχεσθαι

ὅ ἐστι κατασκευάζεσθαι.

Τεῦτλον· λάχανον· παρὰ τὸ σεύω. τὸ ὁρμῶ· ὁρμητικὸν γὰρ ἐπὶ τὰ ἄνω.

Τέχνη ἐπιτηδεύματος διαφέρει. τέχνη ἐστὶν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι· οἷον γραμματική. ῥητορική. ἐπιτήδευμα δὲ τὸ λόγου χηρεῦον. οἷον τεκτονική. χαλκευτική.

Τεχνητεύω. τεχνήτης. τέχνησσα. ἐπεὶ καὶ τεχνικὸν ἔργον ἐκ τοῦ τέχνη τεχνησομένη. ἐκ τοῦ τεύξω. τέτευχα.

Τεχνίτης. βαναύσου διαφέρει. τεχνίτης καλεῖται ὁ λογικῆς τινος τέχνης ἔμπειρος. καθεστηκώς. βάναυσος δέ, ὁ χωρὶς λόγου τι ἐπιτηδεύων.

Τέως. τηνικαῦτα. σημαίνει τὸ πρὸ μικροῦ.

τὸ τ μετὰ τοῦ η.

Τῆ κατ' ἐκεῖνο τὸ μέρος. τῆ λάβε Δωρικῶς. νῦν τοῦτον τὸν ἱμάντα. πόθεν γίνεται τὸ τῆ. παρὰ τὸ

Τάω. τὸ δεύτερον τᾶς. ὥσπερ ζῶ. ζᾶς. καὶ βοῶ. βοᾶς. καὶ ὁ παρατατικὸς ἔταον ἔτων. τὸ δεύτερον ἔταες καὶ δωρικῶς ἔτας. τὸ τρίτον ἔταε. ἔτα. καὶ τὸ προστακτικὸν τάε. καὶ δωρικῶς τῆ.

Τήγανον. τὸ τηγάνιον. παρὰ τὸ τήκω. τήκανον καὶ τροπῇ τοῦ κ εἰς γ. τήγανον. τῇ δὲ ἀντὶ τοῦ ἐκεῖθεν ἢ ἐνταῦθα. καὶ ἔστιν ἐπίρρημα τοπικὸν ἀπὸ τοῦ τῆ ἄρθρου. δοτικῆ.

Τιθηνίς. καὶ τιθηνή. καὶ τιθήνη. καὶ τιθήνια.

Τηλεδαπῶν. τῶν πόρρωθεν τῆς ἠπείρου ἢ ξένων.

Τηλαυγεῖν. παρὰ τὸ τῆλε. ὃ σημαίνει τὸ πόρρω. καὶ τὸ αὐγή. τοῦτο δὲ παρὰ τὸ αὔω. τὸ λάμπω.

Τηλικοῦτος. καὶ τοσοῦτος διαφέρει ὅτι ὁ τηλικοῦτος ἐπὶ τηλικότητος τάσσεται. τὸ δὲ τοσοῦτος ἐπὶ ποσότητος. καὶ ὅμηρος.

Τετύχηκοντο. παρὰ τὸ τεύχω. τὸ

κατασκευάζω. ὁ δεύτερος ἀόριστος ἔτυχον, ἐτυχόμην. καὶ τὸ τρίτον ἐτύχοντο. καὶ κατὰ πλεονασμὸν, τετύχοντο. καὶ τροπῇ τετεύχοντο. ἰωνικῶς δι' ἄδειαν.

Τηλεθόοντες. ἄγαν θέοντες.

Τηλόθι. παρὰ τὸ τῆλος. τήλου καὶ ἐκτάσει τοῦ ε. εἰς η. τήλου. καὶ τηλόθι τὸ μακρὰν. ἔστι δὲ ἐπίρρη-μα τοπικόν. ἀπὸ τοῦ τηλοῦ. τοῦτο ἀπὸ τοῦ τῆλος. ὡς τὸ ὕψου ὑψόθι. ἀγχοῦ. ἀγχόθι.

Τηλύγετον. ἐκ τοῦ τῆλος ὃ σημαίνει τὸ πόρρω. τηλυγέτην. νέαν. μονο-γενῆ. καὶ τὸ γεννῶ γεννήσω. τηλυ-γέννητος.

Τηρῶ. παρὰ τὸ ὁρῶ τὸ βλέπω. τὸ φυλάσσω, καὶ γράφεται διὰ τοῦ ω μεγάλου. ὡς τὸ πυλωρός. θυρω-ρός. κατὰ πλεονασμὸν τοῦ τ τωρῶ. καὶ τοῦ μακροῦ εἰς μακρὸν τηρῶ.

Τήρω. οὕτως ἡ παράδοσις. τέρην

τίς ὤν· καὶ κατὰ κρᾶσιν τῶν δύο
ε̄ εἰς τὴν η̄· τήεω.

Τηλυγέτην· ἀγαπητήν· μονογενῆ·
καταχρηστικῶς δὲ εἶπεν ὁ ποιητής·
κυρίως γὰρ τηλυγέται καλοῦνται
οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες·
ὅ ἐστιν ἐκ γεροντικῆς ἡλικίας σπα-
ρέντες· δοκεῖ γὰρ τὰ μετ' ἀπόγνω-
σιν τῆς παιδοποιΐας γεννώμενα
μᾶλλον ἀγαπᾶσθαι.

Τημελῶ· τὸ ἐπιμελοῦμαι παρὰ
τὸ τῶ· ὃ σημαίνει τὸ λαμβάνω·
καὶ τὸ μέλω· τὸ φροντίζω· καὶ τὸ
προνοοῦμαι· ἐξ οὗ καὶ τημελοῦχος.

τὸ ῑ μετὰ τοῦ τ.

Τίβην· ἔστι δὲ ὁ τρίπους· διὰ τοῦ
ῑ γράφεται· παρὰ γὰρ τὸ ἐπάνω
τριῶν βάσεων κεῖσθαι γέγονε.

Τιθηνὸς καὶ τιθηνή παρὰ τὸ τι-
θῶ· τίθημι· ὄνομα ῥηματικόν
θήνη· καὶ ἐν πλεονασμῷ τοῦ τι
τιθός· τὸ ὕδωρ· παρὰ τὸ τιθῶν.

τό γαρ ὕδωρ πάντα τρέφει. ἢ ὅτι
κρεία ἐστι τῆς ὑγρᾶς οὐσίας. ἀφ' ἧς πάν-
-τα.
Τίθη. καὶ τιθίς. διαφέρει. τίθη
μὲν ἡ τοῦ παιδὸς τροφός. ἃς ἔνιοι
μαίας καὶ μάμμας καλοῦσι.
Τίθη. τιθὶς διαφέρει. τίθη μὲν
γάρ ἐστιν ἡ μάμμη. τιθὶς δὲ ἡ τοῦ
πατρὸς ἢ τῆς μητρὸς ἀδελφή.
τλήμων ὁ κακοπάθων.
τῆτε. τότε. τροπῇ τοῦ ο. εἰς η.
σημαίνει δὲ τὸ χθές.
Τιάφιν. ὅτι ἐξάπτει τὸ πῦρ.
Τίγρης. τίγρητος. διὰ τοῦ η λέγε-
-ται. καὶ κλίνεται καὶ σημαίνει
τὸν ποταμόν. τίγρειδος. διὰ τοῦ
ι. τὸ ζῶον. καὶ ὅτε μὲν διὰ τοῦ
δ. κλίνεται. διὰ τοῦ ι γράφεται.
ὅτε δὲ διὰ τοῦ τ. τότε διὰ τοῦ η.
τιθασσεύω. ἡμερῶ. ἐκ τοῦ τιθῶ.
τιθάσσω. σημαίνει δὲ τὸ χειροήθη
ποιῶ. καὶ κατὰ παραγωγήν. τι-
-θασσεύω. τὸ καταπραΰνω. καί

τῇ χειρὶ ἐπιψῶ.

Τιτθή. καὶ τροφὸς. καὶ τιθηνὸς
διαφέρει. τιτθὴ μὲν ἀπὸ τοῦ τίτθη.
ἡ τροφὸς. ἡ βαῖα. τὰ δὲ βαῖα. ἐ-
τυμολογεῖται ἀναβιβάζουσα. ἡ εἰς
τὴν βάσιν ἡλικίας τὸ τρεφόμενον
ἄγουσα. τροφοὶ δὲ καὶ τιθηνοί.
αἱ τοὺς ἄλλους πόνους ἀναδεχόμεναι.
λέγω δὴ περιφέρειν. καὶ ἀποπλύνειν.
καὶ λούειν.

Τίθει. ζήτει λοπάς. κύθρα. ἢ χύτρα.

Τικτόμενον. τὸ ε. ἡνίκα πλεονάζει
σύμφωνον. τρέπεται εἰς ι. μένω.
μίμνω. τέκω. τίκτω.

Τιμαλφές. ὄνομα σύνθετον. ἐκ τοῦ
τιμὴ. καὶ τοῦ ἀλφῶ. ὃ σημαίνει τὸ λευ-
κόν.

Τιμιουλκῶ. τὸ τὴν τιμὴν ἕλκω.
τουτέστι βαρυτιμῶ.

Τιμὴ. διὰ τοῦ ι. γράφεται παρὰ τὸ
τίω. ἔστιν. ὃ εὕρηται. καὶ ἐν συστολῇ.
οἷον

πρὶν μὲν σε τίω Δαναῶν ταχυπώλων.
καὶ ἄλλως ἐπειδὴ τὰ εἰς μι οὐ θέλουσι

τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον
ἰθύνη· αἰχμή· σπιθαμή.
τίθησι· καὶ τίθενται διαφέρει· τίθη-
σι μὲν γὰρ τὸν νόμον ὁ νομοθέτης.
τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες.
καὶ τιμωρούμενοι.
Τιμαλφέστατον· πρᾶγμα ἄγαν τίμιον
ἢ λαμπρότατον καὶ τιμιώτατον· ἀλ-
φεῖν καὶ ἔστι τὸ εὑρίσκειν· ὥστε γίνεσθαι
τὸ τιμαλφέστατον παρὰ τὸ τιμὴν
πλείστην εὑρίσκον.
Τιμή· τὸ τι τ. διατί· ἐκ τοῦ τίω.
καὶ ἐκεῖνο διατί· κανών ἐστιν ὁ λέγων.
τὰ διὰ τοῦ ιω ῥήματα δισύλλαβα.
μὴ παρ᾽ ἐνεστώτων ἢ μελλόντων γι-
νόμενα· μηδὲ ἀπὸ πλεονασμοῦ ἔ-
χοντα τὸ τ. μηδὲ ἔχοντα ἀντικεί-
μενον τὸ θ. διὰ τοῦ ι γράφονται· οἷον
δίω· τὸ διώκω· μέγα πεῖνα ὄντα δί-
εσθαι. λίω· τὸ σημαῖνον τὸ προθυ-
μοῦμαι. ἐξ οὗ λιαρὸν κατ᾽ ἀφαίρε-
σιν· ὥς λέγουσι τινές. ψίω τὸ λεπ-
τύνω· καὶ ψιάω διαφέρει· ἐξ οὗ καὶ
ψιάς· σημαίνει δὲ τὸ παράγωγον

ῥῆμα. ἐλάττωνά τινα οὐσίαν. ἤ τινος=
=σων ὑποκειμένων. τοιοῦτον γάρ ἐστι
καὶ τὸ ψαύω. καὶ τὸ ψάλλω. τὸ ψίω.
τό τε γὰρ ψαύειν, τὸ ἧττονα τῆς πλήξ=
=εως παίειν σημαίνει καὶ τὸ ψαύειν.
ἧττον τοῦ καθάπτεσθαι. ὁμοίως καὶ
τὸ ψήχειν. οὕτως οὖν καὶ ψίειν. ὃ προ=
=κατάρχει τὸ ψῶ. ἀφ' οὗ ὁ ψωμὸς τὸ
ἔλαττον. παρὰ τὸν ἄρτον. καὶ ὁ μη=
=ρος δηλοῖ.

— ψιάδας κατέχευεν ἔραζε.

κτίω. ἐξ οὗ καὶ ἐϋκτίμενον πτολίεθρον.
πίω. ἐξ οὗ πιομένης ἐκ βοτάνης. ὁ
μέλλων πίσω. καὶ πίσος. καὶ πίσεα.
ποιήεντα. σημαίνει δὲ τὰ ὕδατα. ψιὰς
δὲ λέγουσι τὰς κατ' ὀλίγον καταρχομέ=
=νας δρόσους. ἴω. μετὰ τοῦ στερητικοῦ
α. καὶ πλεονασμῷ τοῦ ν. ἀνίω

ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι· οὔτε τι ἔργω

ἀλλ' ἀνιεῖς —

σημαίνει δὲ τὸ ἀναπείθεις. τίω
βαρυτόνως μὲν σημαίνει δύο. τὸ
τιμωρῶ. καὶ τὸ τιμῶ. περισπωμέ=
=νως δὲ τὸ λοιπῶ. οὗ ὁ μέλλων τίσω.

τετίμηκα. τετίμημαι. τετιμημένος. καί
τετιμημένε φίλον ἦτορ. πρόσκειται
δισυλλάβως. διά τό ἄχρειον καί συμμιῶ.
τό κλείω κατά ἄλλον κανόνα γράφεται.
διά τῆς ει διφθόγγου. πρόσκειται παρ᾽
ἐνεστῶτα ἤ μέλλοντα διά τό θῶ. θείω.
καί βρώσω. βρωσείω. καί ὄψω. ὀψείω.
καί βῶ. βείω. ὅθεν ἐγώ βείω. τό
δέ βείω. εἰ μέν διά περισπωμένου. δισυλλά-
βου συζυγίας βιᾶς. καί γίνεται ἐκ τοῦ
βία. καί ὅμηρος.

ὣς εἴκε βιόατο κοῦρον ἐόντα.

καί ἐβιήσατο παῖδας. τό δέ βιῶ. βιοῖς.
ἐστί τρίτη συζυγία τῶν περισπωμέ-
νων. ὁ μέλλων βιώσω. γίνεται ἐκ
τοῦ βίος. καί εἰς μι ῥῆμα βίωμι. καί
ἡ μετοχή βίους. καί τό ἀπαρέμφατον
βιῶναι. πρόσκειται μή ἔχοντα ἀπό
πλεονασμοῦ τό ι. διά τό σείω. τοῦ-
το γάρ ἀπό πλεονασμοῦ ἔχει τό
ι. ἐστί ῥῆμα σέω. τό σώζω. καί
τροπῇ τοῦ ε. εἰς α. γίνεται σείω
τό παθητικόν σάομαι. ὁ παρατατικός

ἐσαόμην. ἐσάου. καὶ τροπῇ Δωρικῇ τῆς ου διφθόγγου εἰς ω. καὶ βοῶ βῶν. καὶ σῶ ἀρχόμενον γίνεται σάω. καὶ ἡ χρῆσις. σάω δ' ἐρίηρας. εἶπε μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ σ. διὰ τὸ κλείω· κλοιός.

Τιμωρῆσαι. καὶ τιμωρήσασθαι διαφέρει· τιμωρῆσαι· μὲν γάρ ἐστι τὸ ἐκδικῆσαι· τιμωρήσασθαι δὲ τὸ κολάσαι.

Τινάσσω. ἐκ τοῦ τιταίνω· τὸ ἐλκύω· τιτανῶ Αἰολικῶς· τιταίσσω καὶ ἐν ὑπερβιβασμῷ τινάσσω.

Τίνυσθον· ἀπαιτεῖσθαι ῥῆμα. διαθέσεως παθητικῆς. χρόνου ἐνεστῶτος δευτέρου προσώπου τῶν δυϊκῶν. σημαίνει δὲ τὸ τιμωρεῖσθαι. τὸ ῥῆμα τίνυμι. τὸ παθητικὸν τίνυμαι. τὸ δυϊκὸν τινύμεθον. τίνυσθον.

Τίνω. τὸ ἀποδίδωμι. ἐκ τοῦ τίω κατὰ πλεονασμὸν τοῦ ν. καὶ τὸ τι· καὶ μακρωθήσεται. καὶ—

βραχύνεται παρὰ τοῖς ποιηταῖς τὸ τι. ι. πρὸς ἀντιδιαστολὴν τοῦ τείνω. τὸ τανύω. καὶ ἐκτείνω. τιτάν. διὰ τοῦ ι γράφεται. παρὰ τὸ τίνω ὃ σημαίνει τὸ ἀποδίδωμι γέγονε τιτάν. καὶ τιτᾶνες. (9) οὕτω διαπραττόμενοι ὡς δοῦναι τιμωρίαν. ἢ παρὰ τὸ τείνω. γέγονε τιτάν. οἱονεὶ οἱ τιταίνοντες ἢ κόπτοντες τὰ αἰδοῖα τοῦ πατρός. ἢ διὰ τοῦτο διὰ τοῦ ι γράφεται.

Τίτλος. καὶ τιτλίου γραφή τις. ἤγουν διαστολή. ἢ διὰ τοῦ στέλλειν. καὶ χωρίζειν.

Τιμωρεῖσθαι. καὶ τιμωρεῖν διαφέρει. τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν. τιμωρεῖν δὲ τὸ βοηθεῖν. τοῖς ἀδικουμένοις.

Τιμωρός. καὶ τιμωρία. τὸ τι. ι. παρὰ τὸν τίσω μέλλοντα. ὃ σημαίνει τὸ τιμῶ. τὸ μω μέγα. παρὰ τὸ τιμή. καὶ τὸ ὤρω τὸ σημαῖνον τὸ φυλάσσω.

Τινάσσω· ἐκ τοῦ ἴς ἰνός· ὃ σημαίνει τὴν δύναμιν ἰνάσσω· καὶ τινάσσω.

Τίς· τὸ τίς· ὅτε μὲν ἐστὶν ἐρωτηματικὸν· τὸν οἰκεῖον τόνον φυλάσσει· ὅτε δὲ ἐστὶν ἀόριστον ἀναβιβάζει τὸν τόνον· ὡς τὸ ὄφρα τις. ὁ τίς· καὶ ἥτις· ὅτις· τοῦ τινός. ὁ κανών· τὰ εἰς ΙΣ μονοσύλλαβα προσλαμβάνει τοῦ ος κλίνονται. κίς κιός· δηλοῖ δὲ τὸν σκώληκα. λίς· λιός· δηλοῖ δὲ τὸν λέοντα. ὤφειλε δὲ καὶ τὸ τίς τιὸς κλίνεσθαι. ἀλλὰ τὸ κίς· καὶ τὸ λίς· μακρὸν ἔχουσι τὸ Ι· τὸ δὲ τίς βραχύ. καὶ ὡς ἐνήλλαξε κατὰ τὸν χρόνον. ἐνήλλαξε καὶ κατὰ τὴν κλίσιν.

Τὸ τίς σημαίνει τρία. τόπον· ὄνομα ἀρσενικὸν· θηλυκόν· καὶ κλίνεται ὅτις τοῦ τινός· τὸ δὲ ἐρωτηματικὸν· σπάνιον· καὶ τίς τὸ ἄπειρον· ἀντὶ τοῦ οὐδείς.

Τίσασθαι· σημαίνει τὸ τιμωρήσασθαι.

καὶ τί διαφέρει· τὸ τίω· τοῦ τίνω.
τιμωρεῖν μέν ἐστι τὸ ἐπαμύνειν καὶ
βοηθεῖν· τιμωρεῖσθαι δὲ τὸν
προαδικηκότα κολάζειν· τιμωρεῖ
μὲν πάτροκλον Ἀχιλλεύς· τιμωρεῖ-
-ται δὲ ἕκτορα. ἐστὶν οὖν τὸ ῥῆμα
τίω· καὶ περισπώμενον τιῶ· καὶ
σημαίνει τὸ λυπῶ. τὸ τῑ. τ. ὅμηρος.
τίσειαν ἀορίστου πρώτου. εὐκτικὸν
Αἰολικὸν τρίτου προσώπου. ἐκεῖνο
γὰρ τὸ τύψαιμι· τύψεια λέγουσι.
τὸ δεύτερον τύψειας. τὸ τρίτον τύψ-
-ειε. καὶ τῷ μὲν πρώτῳ χρῶνται οἱ
Αἰολεῖς· τοῖς δὲ λοιποῖς ἡ κοινὴ διάλεκ-
-τος. ἔστι τὸ θέμα τίω· τὸ τιμωρῶ.
τίσω· ἔτισα· καὶ τὸ εὐκτικὸν τίσει-
-ας.

Τίφος· ὁ κάθυγρος τόπος.

Τιτθοί· οἱ μαστοί· παρὰ τὸ τίθεσθαι
τοῖς στόμασι.

## τὸ τ. μετὰ τοῦ λ.

Τλήσομαι· τὸ ῥῆμα· τλῶ· τλῆς ὁ

μέλλων τλήσω. ἐκ δὲ τοῦ τλῶ τὸ παρατατικῷ γίνεται τλᾶς. καὶ μετὰ τοῦ στερητικοῦ α. ἄτλας. ὁ ἀκάρτερος καὶ ἐν ὑπερβιβασμῷ τάλας. οἱονεὶ ὁ ἀκαρτέρητος. καὶ μὴ δυνάμενος ἰσχῦσαι.

τὸ τ. μετὰ τοῦ μ.

Τμηθεὶς. ἐκ τοῦ τμῶ ὅπερ ἀπὸ τοῦ τέμνω. ὁ δεύτερος ἀόριστος ἔταμον. ὁ δεύτερος μέλλων ταμῶ. καὶ συγκοπῇ τμῶ. ὅπερ ἀπὸ τοῦ τέμνω.

Τιτώ. σημαίνει τὴν ἡμέραν. καὶ γράφεται διὰ τοῦ ι.

Τλῆτε τλῆμι. καὶ ἡ μετοχὴ ὁ τλὰς τὸ τλάντος. καὶ τὸ προστακτικὸν τέτλαθι. κατὰ διάλεκτον τλῆθι. τλή-τω. τλῆτε. ὃ σημαίνει τοπικὴν σχέσιν ὅμηρος. τὸ δ' ἱκάνω. καὶ ἔστιν αἰτιατικῆς πτώσεως. [illegible] καὶ τὸ δὲ ἰσοδυναμεῖ τῇ εἰς προθέσει.

τὸ τ. μετὰ τοῦ ο.

Τόδε μοι. τοῦτο δέ μοι. Ἀρίσταρχος

δύο μέρη λόγου εἶναι. ὁ δὲ Ἡρωδιανὸς
ἕν. ὁ δὲ Ἀρίσταρχος ὀξυτονεῖ τοδὲ
ὁμοίως. ἵνα ᾖ δύο μέρη λόγου.
ἐπικρατεῖ δὲ ἡ παράδοσις Ἀριστάρχου.
Τοίκεν οἵτινες ἰάνον. ἄρθρον·
προτακτικὸν ἀντὶ ὑποτακτικοῦ. καὶ
ἐστιν ἡ εὐθεῖα ὁ καὶ τὸ πληθυντικὸν
ὤφειλεν οἱ. ἀλλ' ἐπειδὴ οἱ Δωριεῖς
φασὶ τὴν ἀναλογίαν τῆς εὐθείας
τῶν δυϊκῶν ἀποβάλλουσι. τὸ κατ'
:ἀρχὴν σύμφωνον. καὶ ἀναφορικὸν
γίνεται. οἷον ποῖος. οἷος. ἅτινα
προσλαβόντα τὸ τ κατ' ἀρχὴν. ἀν=
:ταποδοτικὰ γίνονται οἷος. τοῖος.
ὅσος. τόσος. ἅτινα πάλιν ὀξυνόμε=
:να. ἀόριστα γίνονται οἷον πόσος.
ποσός. τόσος. τοσός. τοσόνδε τ' ἔλαβε.
Τοιουτόδε. ἀντὶ τοῦ τοιούτου.
Τοκεύς. ὁ πατήρ. ὡς παρὰ τὸ ἔχω
τὸ σωχέω. καὶ σφίγγω γίνεται ὀχεύς.
ὁ συνέχων καὶ σφίγγων τὴν περικε=
:φαλαίαν. οὕτω καὶ παρὰ τὸ τέκω
τοκεύς.

Τίσανδρος· διὰ τοῦ τ· παρὰ τὸ τίσω μέλλοντα. ἢ ὅτι παρὰ τὸ τιμήσω μέλλοντα. ἢ ὅτι παρὰ τὴν τιμὴν γέγονε μήσανδρος· καὶ κατὰ συγκοπὴν τίσανδρος.

Τόμοι ἄρθρα ὑποτακτικὰ ἀντὶ προτακτικῶν. οἱ γὰρ Αἰολεῖς τὰ προτακτικὰ ἀντὶ ὑποτακτικῶν χρῶνται. τὸ γὰρ οἵμοι, τόμοι λέγουσι· καὶ τὸ ὥμοι· τῶμοι, ἀντὶ τοῦ οὕς τινας

Τολύπευσε· κατειργάσατο· μεταφορικῶς καὶ γὰρ τὴν τῶν ἐρίων εἴλησιν τῶν ἤδη κατειργασμένων τολύπην ὀνομάζομεν.

Τολύπη· ἄμπελος ἡ ἀγρία. ἢ ἀγραγγουρέα βοτάνη· ἀναιρετική. ὁ μανδραγόρας.

Τοξεύω· ἐκ τοῦ τόξον· τοῦτο παρὰ τὸ τάσσω· τάξον· καὶ τόξον· τοξότης. ὁ τὸ τόξον τείνων. καὶ τοξότης τὸ ἄστ.

Τονθορύζω· λαλῶ· ὡς δὲ ἡ χρῆσις.

γυναικῶν τινῶν γραῶν ὑποκωθω-
-νιζομένων. σημαίνει δὲ τὸ βοηθ.

Τὤμοι. ἀντὶ τοῦ ὤμοι.

Τόν δε. ἓν μέρος. λόγου ἐστιν. εἰ
γὰρ ἦν. ὤφειλε τόνδε.

Τονθορύζω. παρὰ τὸ θρόος. ὃ ση-
-μαίνει τὸν τάραχον. καὶ θόρυβον.
καὶ κατὰ ἀναδιπλασιασμὸν θονθο-
-ρύζω. καὶ τονθορύζω. σημαίνει
δὲ τὸ ψιθυρίζω.

Τοπάζειν. στοχάσασθαι. ἐνθυμηθῆ-
-ναι. ὑπονοεῖν. καὶ ἐτοπαζόμην
ὁμοίως. διὸ καὶ τοπεῖν καὶ ὑπο-
-τοπεῖν τὸ ὑπονοεῖν λέγεται.

Τόπος. παρὰ τὸ τύπος. τροπῇ
τοῦ υ. εἰς ο. ἕκαστος γὰρ τόπος.
ἰδίῳ τύπῳ κέχρηται. ἢ παρὰ
τὸ λαμβάνω. καὶ δέχομαι.

Τόπος. παρὰ τὸ πατῶ. πατήσω.
πάτος. καὶ καθ' ὑπερβιβασμὸν
καὶ διαλέκτῳ αἰολίδι τόπος. εἰς
τὸ ταφῆν ἐπιτήδειος.

Τόσα. σημαίνει δύο. τὸν περιγρα:
:φόμενον τόπον. καὶ τὸ ἐπιχείρημα.
Τορὸν καὶ τορός. εὔτροχος. καὶ το:
:μός. καὶ σωστός. ἔνιοι σαφῶς. ὡς
παρὰ Σοφοκλεῖ. β

λέξω τορόν σοι πᾶν ὅπερ χρήζεις μαθεῖν.
οὐκ ἐμπλέκων αἰνίγματα. ἀλλ' ἁπλῷ
λόγῳ. ὥσπερ δίκαιον πρὸς φίλον
οἴγειν στόμα. σημαίνει δὲ ἐργαλεῖον
φρενωρυχικόν. καὶ σκαφίον. παρα:
:φυλλία.

Τορόν. μεγαλόφωνον. ὀξύ. τορῶς
ἰσχυρῶς.

Τορώνη. τὸ κοχλιάριον. Ἀριστοφά: β
:νης δὲ τὸν χυτρόπουν.

Τοσαῦτα ὄνομα. πτώσεως αἰτιατι:
:κῆς. τῶν πληθυντικῶν τῶν οὐ:
:δετέρων. ἡ αὐτή ἐστιν ὀρθῇ καὶ
κλητικῇ. ἡ εὐθεῖα τῶν ἑνικῶν
οὐκ ἔχει. καὶ πόθεν γίνεται ἐκ τοῦ
τόσα. κατὰ παραγωγὴν τοσαῦτα.
παραλήγουσαν ἔχων τὴν αὐτὴν—

κανὼν γάρ ἐστιν ὁ λέγων· ὅτι ἡ πρὸ
τέλους συλλαβὴ ἐπὶ ταύτης τῆς
παραγωγῆς τῆς κατὰ γένη καὶ
ἀριθμὸν προσιούσης· βούλεται τὸ
ῡ ἔχειν προκειμένου φωνήεντος.
ὁποῖον ὁρᾶται ἐν τῇ λειπούσῃ συλ-
λαβῇ τὸ                                   πα-
ράγωγον· ἔχει πρὸ τοῦ ῡ τὸ ο̄
προκείμενον. ὁμοίως τὸ τηνίκα
εἰς ᾱ λήγει· τὸ τηνικαῦτα ἔχει
τὸ ᾱ προηγούμενον τοῦ ῡ. οὕτω
καὶ τὸ ἔνθα. ἔνθεν. ἐντεῦθεν.
τὸ αὐτὸ δὲ ἐπὶ ὀνομάτων· οἷον
τόσος· τοσοῦτος. τόσον· τοσοῦτον.
τόσα· τοσαῦτα. κατὰ γένη γὰρ
καὶ ἀριθμοὺς αἱ παραγωγαὶ γίνον-
ται οἷον τηλίκος· τηλικοῦτος·
τηλίκα· τηλικαῦτα· τὸ τῆν· τῆ
ὤφειλεν· ἀλλ' ἐπειδὴ κανών ἐστιν
ὁ λέγων· οὐκ ἔστιν ἐπινοῆσαι τὸ
η̄· καὶ τὸ ῡ· ἐν μιᾷ συλλαβῇ·
καὶ τὰ ὅμοια. τούτου χάριν τρέ-
πουσι τὸ η̄· εἰς ᾱ

Τόσον· ὄνομα ἀναφορικόν· ποίου
εἴδους τῶν ἀναφορικῶν. ἀνταποδο-
:τικοῦ διατί· ἐπειδὴ τὰ ὑπὲρ
μίαν συλλαβὴν ἐρωτηματικά, ἀπο-
:βάλλουσι τὸ κατ' ἀρχὴν σύμφωνον,
ἀναφορικὸν γίνεται. οἷον τοῖος· οἷος
τόσος· ὅσος· ἅτινα πάλιν ὀξυνό-
:μενα ἀόριστα γίνονται. τόσος· το-
:σός. πόσος· ποσός.

Τόσον· ἐπὶ τοσοῦτον· ὑποκάτω.
ἔνερθ' ἀΐδαο. ὡς τὰ οὐράνια τρία
διαστήματα ἔχειν ἀέρα. μέχρι νε-
:φελῶν. εἶτα αἰθέρα. μέχρι τῶν
φαινομένων. ἔτι καὶ ἀπὸ γῆς εἰς
ᾅδου. καὶ ἀπὸ ᾅδου εἰς τάρταρον.

Τότ' αὖτ' ἐπίρρημα. χρόνου δηλω-
:τικόν οἷον· ἔστι καὶ τό. τότε. πο-
:ρεωθεὶς εἰς τῶν ιβ. σημαίνει τό
μετὰ ταῦτα. καὶ τὸ αὖτε ἀντὶ
τοῦ πάλιν· τὸ τότε· καὶ ἔπειτα.

Τουδουνοιοὶ τοποτῆραι παρὰ
τούρκοις.

τουτέστι. σύνδεσμος. διαβεβαιωτικός. ἀντί τοῦ ὑπάρχει. ὁμοίως καί τό ἤγουν.

Τόφρα. ἀπό τοῦ τῷ ἄρθρου. καί τοῦ φρῶ. τοῦ σημαίνοντος τό λέγω. γίνεται τόφρα. τόν ἀρτίως φραζόμενον. ἤ ἀπό τοῦ ὄφρα αἰτιολογικοῦ συνδέσμου. πλεονασμῷ τοῦ τ. φέρω. φάρα. καί ἐν ὑπερβιβασμῷ ὄφρα. ὅθεν λέγεται καί τῇ συνηθείᾳ τώρα. ἀντί τοῦ τῇ ὥρᾳ.

Τοὔνεκα. καί οὕνεκα διαφέρει. τό μέν γάρ τοὔνεκα. ἐπί τούτου ἕνεκα - - - - - - ἁμαρτάνει ὅσω Καλλίμαχος εἰπών.

β τοὔνεκα αἶγλος ἔθηκεν —

ὅτι τό δέον εἰπεῖν οὕνεκα. καί ἀντί τοῦ κα κεν εἶπεν.

τό τ̄ μετά τοῦ ρ̄.

Τράγος. παρά τό τρώγω. πολύφαγον γάρ τό ζῶον. ἤ παρά τό τραχύ

δέρμα ἔχειν.

Τραγῳδία· παρὰ τὸ τράγος καὶ τὸ ᾠδὴ δηλυκόν· γίνεται τραγῳδία· τὸ δὲ τράγος ἀπὸ τοῦ τραχύς· τὸ δὲ τραχὺς ἀπὸ τοῦ εὔβω· εὔξω· ευχός· καὶ τραχύς.

Τούρκος· ὁ χάζαρος· δυσκόσμου. χάος· ὄρος· χάος τοῖς ἀντιπίπτουσι· πολύλαλος· ἰσχυρόφωνος· πολύκτυπος· πολυμάταρβος· ἀμαρτόζωος· παλυμίαρος· δυνατομέγεθος· ἀπειλής· ἀμετάβλητος· ἀνθισάμενος· ἐγειρόμενος· σ - - · · · τὸν κόνμον τῷ ὀρισμένῳ χρόνῳ.

Τραπεζίτης· διὰ τοῦ ι· γράφεται τῷ λόγῳ τοῦ ἀσκαλωνίτης· τὸ δὲ τραπεζίτης κύων· ὁ ἐπιτραπέζιος· διὰ τῆς ει διφθόγγου γράφεται· ἔτι δὲ παρὰ τὸ τραπεζεύς.

Τρακταῖσθαι κακουργῆσθαι· ἴσως παρὰ τὸ τρώκτης· τοῦτο παρὰ

τὸ τρω· σημαίνει δὲ τὸ βλάπτω.
οὗ παράγωγον τρώγω· ὁ μέλλων
τρώξω· ὄνομα ῥηματικόν· τρώκ-
-της ἐπὶ βλάβῃ τινὰς ἐγκατας-
μίγων.

Τράλλεως καὶ τράλλεις· εἰς τὸ
ὄρνιθος.

Τράπεζα· διότι ὑπὸ πεσσά-πεζῶν
ἵσταται· πέζα γὰρ ὁ πούς· τὸ δὲ
τρὰ διὰ τὸ τρώγειν.

Τράπεζα· διὰ τὸ τέσσαρας ἔχειν
πέζας ἤγουν πόδας.

Τράχηλος· παρὰ τὴν τῶν ὀστέων
τραχύτητα· ὀστώδες γὰρ τὸ μέρος.
ἢ παρὰ τὸ δι' αὐτοῦ τρέχειν τὴν
τροφήν.

Τράχηλος· παρὰ τὸ εἶναι αὐτὸν ἐξ
ὀστέων τραχέων· καὶ οὐ σκληρέων.

Τραφερά· ἡ πεπηγυῖα· γῆ· ὡς
πρὸς τὴν θάλασσαν· θρέψαι γὰρ τὸ
πῆξαι· ὅμηρος

ἥμισυ μὲν θρέψαι λευκοῖο γάλακτος.

Τραυματίας· παρὰ τὸ τρῶ· τρώσω.

ἢ παρὰ τὸ τραύω· τραύσω· θραυ-
ματίας· καὶ τραυματίας. τό τι-
τ· τραῦμα παρὰ τὸ τρῶ τὸ
τιτρώσκω· τραῦμα· καὶ τραυμα-
τίας.

Τραῦμα· ἀπὸ τοῦ τρῶ· τρώσω·
τραῦμα· ἐτυμολογεῖται δὲ διὰ
τὸ ῥεῖν δι' αὐτῆς τὸ αἷμα.

Τρανός· μεγάλος· παρὰ τὸ στερεός.
μακρὸν τὸ ᾱ· τὰ εἰς νος ὀξύτονα
δισύλλαβα τῷ ᾱ· παραληγόμενα.

Τρανός· παρὰ τὸ θορῶ· τὸ πηδῶ.
γίνεται θρανός· καὶ τροπῇ τοῦ θ.
εἰς τ· τρανός. ἢ παρὰ τὸ τλῶ
τὸ καρτερῶ· τλανός· καὶ τρανός·
τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀ-
μετάβολον.

Τράπεζα· διὰ τὸ ἀεὶ τετράσθαι.
ἤγουν στέλλεσθαι.

Τραπεζῶς δὲ τὸ ἐπίρρημα τῆς μεθό-
τητος.

Τραπεζίτης· ὁ καταλάκτης· διὰ
τὸ τὴν τροπὴν ζητεῖν ἀεὶ καὶ τὸ

ὀρθόν· δίφθογγον· διαφέρεται δὲ
κατὰ τὴν γραφήν· ἐπὶ μὲν τοῦ ἐν
τῇ συνηθείᾳ λεγομένου· διὰ τοῦ
ι γράφεται· ἀπὸ τοῦ τράπεζα·
ἐπὶ δὲ τοῦ παρισαμένου ἐν τῇ τρα-
πέζῃ· διὰ τῆς ει διφθόγγου ἀπὸ
τοῦ τραπεζεύς· τραπεζίτης κοινῶς.

Τραυλός· κωφοῦ διαφέρει· ὁ μὲν
γὰρ τραυλὸς καὶ κωφὸς πάντως· ὁ
δὲ κωφὸς· οὐ τραυλός· ἐξ ἀνάγκης
γεγονώς· ὅμηρος· τράφεν· ἐτρά-
φησαν· ὁ δεύτερος ἀόριστος τῶν
πληθυντικῶν· τρίτον πρόσωπον
τῶν παθητικῶν· Δωρικῶς· καὶ ἰωνι-
κῶς· ὥσπερ τὸ κόσμηθεν.

Τράχηλος· τῆς ῥάχεως εἶλος· ἢ πα-
ρὰ τὸ εἶναι αὐτὸν ἐξ ὀστέων τρα-
χαλέων καὶ οὐ σκληρῶν.

Τραχὺς ἀπὸ μεταφορᾶς τῆς ῥά-
χεως ὀστώδης ἐστί.

Τρέω· τρέμειν· παρὰ τὸ τρῶ· τὸ
φονεύω· εἰς τὸ τρέμεων· καὶ —

τρικυμία.

Τρήρων. ἐπὶ τῆς περιστερᾶς. ἡ δειλή. ἡ δειλία περιστερά. παρὰ τὸ τρέω. τὸ φοβοῦμαι. τρήρεος ὄνομα ῥηματικόν. καὶ τρήρων κατὰ κρᾶσιν τῶν δύο εε.

Τριπτῷ. τὸ τριπτῷ. καὶ τριπτὸν τὸ τετριμμένον. ἐκ τοῦ τρίω. τρί:βω.

Τριάς. τρίτος. παρὰ τὸ ἄτρυτος εἶναι. τουτέστιν ἀκαταπόνητος. οὕ:τω δὲ λέγεται διὰ τὸ μὴ δύνασθαι αὐτὴν εἰς ἴσα διαιρεῖσθαι. εἰς ἓν καὶ δύο διαιρεῖται. οὐ γὰρ εἰς ἓν καὶ εἰς ἓν διαιρεῖν αὐτήν.

Τριβώνιον. ἕκαστον παλαιὸν καὶ τὸ τετριμμένον παλλίον. ἀπὸ γὰρ τῆς τριβῆς καὶ τοῦ τετρῖφθαι εἴ:ρηται τριβώνιον. σημαίνει δὲ διδασ:καλικὸν ἱμάτιον. καὶ εἰς τὸ χαλκο:χίτων.

Τριάς. ἐκ τοῦ τρεῖς δέκα. ὁμοίως καὶ τεσσαράκοντα. καὶ διατί. ὥσπερ τριάκοντα

καὶ τεσσαράκοντα. καὶ ἑξῆς μὴ δύο
διάκοντα. ἀλλ' εἴκοσι λέγομεν. ὅτι
οὐκ ἔστιν ὁ δύο τέλειος ἀριθμός. ἔν-
θεν καὶ ἐν τῷ πολυπλασιασμῷ εὑ-
ρίσκεις διηλλαγμένον.

Τρίγλα. διὰ τὸ τραγανόν.

Τρίκλινος. ὥσπερ ἂν εἴποι τίς. τρίκλι-
τον. εἰς ὕψος. καὶ εἰς μῆκος. καὶ
εἰς πλάτος.

Τρικυμία. ἡ σφοδροτάτη. καὶ δεινο-
τάτη τῆς θαλάσσης ταραχή. γίνε-
ται ἐκ τοῦ τρίς. ὃ σημαίνει τὸ
πολύ. καὶ τὸ κῦμα. τὸ τρῑ. ῑ. τὸ
γὰρ τρι συντιθέμενον μετά τινος
ἑτέρας λέξεως ἀποβάλλεται τὸ ε̄.
ἐν τῇ συνθέσει. οἷον τρισόλβιος.
τρισμέγιστος. τριήμερος.

Τρικυμία. παρὰ τὸ τρέω τὸ φοβοῦ-
μαι. καὶ τὸ κῦμα γίνεται τρεκυ-
μία καὶ τροπῇ τοῦ ε̄. εἰς ῑ. τρι-
κυμία. ὁ ἐκ τῶν κυμάτων φόβος.

τριπλῆ. ἐπίρρημα ἀριθμοῦ —

δηλωτικόν· τρισσῇ τὸ θηλυκόν· τὸ
δὲ ἀρσενικὸν ὁ τρισσός· ἐκ οὗ καὶ τὸ
τρισσῶ ῥῆμα. οὗ ὁ μέλλων τρισσώσω.
καὶ ἐτρίσσωσα.

Τριτογένεια. ἡ Ἀθηνᾶ. ἀπὸ τοῦ πο-
-μοῦ ὅπου γεννηθεῖσα ἀπελούσατο.
ἢ παρὰ τὸ τρεῖν.

Τριτογένεια. ἡ φοβερὰ καὶ καταπληκ-
-τική· παρὰ τὸ τρεῖν. ἢ φόβου ποιοῦ-
-σα.

Τρίχες. παρὰ τὸ τριχῶς αὐτὰς φύεσθαι.
ἄλλως γὰρ ἡ θρὶξ τῆς γεννήσεως. καὶ
ἄλλως τῆς ἥβης· καὶ ἄλλως τῆς πολι-
-ᾶς. ἢ παρὰ τὸ θρίζω· θρίξω· θρίξ.
καὶ ἐν συγκοπῇ θρίξ. κλίνεται θρίξ.
θριχὸς καὶ τριχός.

Τριχθά· ἐπίρρημα μεσότητος. παρήχ-
-θη δὲ ἐκ τοῦ τριχθά. καὶ σημαίνει
τὸ τριχῶς. βαρύνεται. ὁ κανών· τὰ
εἰς χα λήγοντα ἐπιρρήματα ἐπὶ
μεσότητος λαμβανόμενα βαρύνεσθαι
θέλουσιν. εἰ δὲ εἶεν ὑπὲρ δύο συλλαβὰς
προπαροξύνεσθαι θέλει· οἷον δίχα.

Τροία. τὸ τροι δίφθογγον. τὰ διὰ
τοῦ ια δισύλλαβα μακροκατάληκτα

διά τῆς οι διφθόγγου γράφονται. καί βαρύνονται καί ὀξύνονται οἷον ποία. καί παρά τῷ ποιητῇ· ποία παρήϊ-

κοτα. σημαίνει τήν σφαῖραν. ἡ χρῆσις παρά Ἀντιμάχῳ.

β κοίας ἐκ χειρῶν εἰς σκόπελον μεταειπάζουσι.

Τροία πόλις. ἐπί δέ ὀξύτονα ποιά. χροιά. τά δέ ὑπέρ δύο συλλαβάς ἅπαν-

τα διά τοῦ ὖ ψιλοῦ γράφονται. οἷον σικύϊα. κωδύϊα. ὀξύϊα. ἀφύϊα. σιπύϊα.

καρύϊα.

Τροΐηω. κτητικόν ἐστι. τρώς. τρωός. τρωϊκός. ἀποβολή τοῦ κ. τρώϊος. τοῦ τόνου ἀναδιδομένου. καί ὄλυμπος. ὀλύμπιος. τρώϊος. τρωΐα. ἰωνικῶς τρωΐη. καί συστολή ποιητική τοῦ ω. εἰς ο μικρόν. διά τό μέτρον. καί ἐν συναιρέσει τροίη. καί τροία. καί ἄλλως. τρωΐηω. κτητικόν. ἐστι γάρ τροία. καί κατά διάλυσιν. τροΐ-

α. καί ἐκτεῖθεν τροΐηω. καί κατ' ἐπέκτασιν τοῦ ο εἰς ω τρωΐην. ἤγουν τήν τροίαν.

Τροία. βοιώτιον τό ὄνομα. παρά

τό τρως· καί τρωός·

Τροπολόγιον· διά τό τρέπειν τοὺς λόγους· οἷον ὁ τοῦ φωτός χορηγός. ἥρμοσε γάρ ὁ χορηγός τοῦ φωτός.

Τρόπις· τό κατώτατον· περί ὅν σχίζει τό κῦμα.

Τρόμος· ἐκ τοῦ τρέμω· τό δέ τρόμος ἐκ τοῦ φόβος.

Τροφή· παρά τό τρέφω· θρέψαι· πῆξαι ἢ πηγνύουσα· καί εὐπαθῆ ποιοῦσα τό σῶμα

Τροφαλίς ἐπί τοῦ τυροῦ· παρά τό τρέφω· τό πήξω·

ἥμισυ μὲν θρέψαι λευκοῖο γάλακτος.

Τρυφή· παρά τό θρύπτω· τό διακλῶ· ἢ διακλῶσα· καί ἀφανίζουσα ἡμῶν τό σῶμα· καί ὅμηρος·

τειχθά τετραχθά διά τρυφὴν ἔπεσε χιερός.

Τρυγίας· ἔστι τρω· καί ἐκ τούτου γίνεται τρώω· καί ἐκ τούτου τρύω· ὁ μέλλων τρύξω· ὁ παρακείμενος τέτρυφα· τέτρυγα· καί ἐξ αὐτοῦ τρυγή· ἢ ἐκ τοῦ τρυγῶ.

τρυγᾶς. τρυγίας. τρυγίου. καὶ τὸ
θηλυκὸν τρυγία. ἤγουν ἡ ὕλη. ἐκ
τούτου τρυγῶ. ἐκ δὲ τοῦ τρυγῶ.
τρυγητὸς καὶ τὸ τρύγος. τρύγη.
τρυγή.

Τρυγῶν διὰ τὸ γένος. ἢ τὴν γυναῖ:
:κα τηρεῖν

Τρόπαιον ἡ νίκη. τρόπος. ὁ τρό:
:πος. καὶ ὁ τροπωτῆς τῆς κώπης.
παρὰ τὸ τρέπειν ὅπου δεῖ τὴν
κώπην. τρέπω. τρόπος.

Τρυφαλία. τὸ τρυ σημαίνει τὴν
:τρ. φάλους ἔχουσα. τρεῖς φάλοι
δὲ εἰσίν. οἱ κατὰ τὸ μέτωπον
τῆς περικεφαλαίας χρυσοῖ ἧλοι.
οἱ ἀστερίσκοι.

Τρύβλιον. τὴν μὲν πλάσιν. ὀξυβά:
:φιον ἤγουν παροψίς. χωρεῖ δὲ
ξέστου τὸ ἥμισυ.

Τρύζεται. πολυλογεῖται. γογγύζε:
:ται. ἀπὸ τῆς τρυγόνος ἡ μεταφο:
:ρά.

Τρυγὼν τηρυγῶντίς ζῶα ὅτι τὸ

οἰκεῖον γένος· μὴ διγαμοῦσα ποτέ.
ἢ διὰ τὸ τρία ὠὰ γεννᾶν αὐτήν.

Τρυφάλεια· κανὼν γάρ ἐστιν ὁ λέ-
γων· ὅτι οἱ δύο· καὶ τρεῖς μὴ καὶ
δέκα ἀριθμοὶ συντίθενται εἰς τὰ
ἐπιρρήματα τοῦ δὶς καὶ τρίς·
μεταλαμβάνονται· οἷον διπρόσωπος·
ὁ δύο πρόσωπα ἔχων· καὶ τρί-
πους· ὁ ἔχων τρεῖς πόδας· οὕ-
τως οὖν καὶ τρυφάλεια· ἡ τρεῖς
φάλους ἔχουσα λαμπρούς· τριφά-
λεια οὖσα· καὶ κατὰ τροπὴν
τρυφάλεια· καὶ εἰς τὸ ἀσύμφυλον.
φάλειον γὰρ τὸ λαμπρόν.

Τρυφῶν· διατρυφῶν· τὸ ῥῆμα·
θρύπτω· τὸ εἰς μακρὰ διακόπτω.
ὁ μέλλων θρύψω· ὁ δεύτερος ἀό-
ριστος ἔτρυφον· τρυφῶν· καὶ δια-
τρυφῶν.

Τρώγλη· ἡ τρύπα· παρὰ τὸ τρώ-
γω· τρώξω· τρώγλη· τὸ διαβε-
βρωμένον μέρος τοῦ τείχους καὶ

τετρυπημένον

Τριβώνιον τοῦ ῥάκους διαφέρει. ὅτι τριβώνιον μέν ἐστι τὸ ἀποβεβληκὸς τῆς κρόκυδος. ἤγουν τῆς βαφῆς ἱμάτιον. ῥάκος δὲ τὸ διερρωγός. παρὰ τὸ διαιρεῖσθαι καὶ ὅτι εἴωθεν. ῥάκεα δυσφαλίξας.

Τρὼς διατί ὀξύνεται. τὰ εἰς ως μονοσύλλαβα ἀρσενικὰ ὀξύνονται, εἰ μὴ ἐκ συναλοιφῆς εἴη. ἢ ἐκ μεταθέσεως. ἐκ συναλοιφῆς μὲν ὡς σόος. σῶς. ἐκ μεταθέσεως δὲ ὅτι οἱ Δωριεῖς καὶ οἱ Ἴωνες. τὸ ους ως λέγουσι. κλίνεται Τρωός. ὁ κανὼν τὰ εἰς ως ὀξύτονα μονοσύλλαβα εἰ μὲν ἔχουσι σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων διὰ καθαροῦ τοῦ ος κλίνονται. οἷον θώς. θωός. δμώς δμωός. ὁ δοῦλος. εἰ δὲ μή. διὰ τοῦ τος. φώς φωτός. ὁ ἀνήρ. πλώς. πλωτός ὁ ἰχθύς. χρὼς χρωτός σημαίνει τὸ σῶμα.

τρῶς ὄνομα· σημαίνει δύο· ὄνομα
κύριον καὶ τὸ ἐθνικόν. καὶ τὸ
μὲν κύριον·

Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες παρεγένοντο

τὸ δὲ ἐθνικόν. Τρῶες καὶ Λύκιοι.—
καὶ τί διαφέρει. τὸ κύριον τοῦ
προσηγορικοῦ. ὅτι τὸ μὲν κύριον
ὄνομα οὐδέποτε παρὰ τῷ ποιητῇ
ἐν πληθυντικῇ φωνῇ παραλαμβά-
νεται. ἀλλὰ μᾶλλον ἐν ἑνικῇ.
οἷον·

. . . . . . περ εὐρύοπα Ζεύς.

πάλιν δὲ ἐκ τοῦ ἐναντίου. τὸ ἐθνι-
κὸν πάντες ἐν πληθυντικῇ φωνῇ
παραλαμβάνουσι. καὶ οὐκ ἐν ἑνικῇ
οἷον·

Τρῶες ὑπέρθυμοι —

Τρωσί· διὰ τί ὀξύνεται. πᾶσα δο-
τικὴ πληθυντικῶν εἰς σι λήγου-
σα. δισύλλαβος ἐπὶ ὀνομάτων
ὀξύνεσθαι θέλει. πλὴν τοῦ πᾶσι.
καὶ τοῦ ἐν σπέσι γλαφυροῖσιν.
ὥσπερ ἀπὸ τοῦ σπέεσι γίνεται

κατ' ἀποκοπήν· τὸ γὰρ τίσι διάφορον σημασίαν ἔχει· καὶ τὸν τόνον. πευστικὸν γὰρ ὂν βαρύνεται· ἐπὶ δὲ μετοχῆς ὀξύνεσθαι θέλει.

## Τὸ Τ μετὰ τοῦ Υ.

Τύραννος· ἤτοι ἀπὸ τοῦ τυρέσων· ὠμοὶ γὰρ οὗτοι. ἢ ἀπὸ τοῦ Γύγου. ὅς ἐστιν ἀπὸ Τύρρας πόλεως Λυδιακῆς τυραννήσαντος ἐν αὐτῇ πρώτου. οὕτως εὗρον ἐν ὑπομνήματι Ἀρχιλόχου.

Τύρσις· ἡ μηχανή.

Τρύω· σημαίνει πέντε· τρύω τὸ τρίβω· τρύω τὸ βλάπτω· τρύω τὸ φοβοῦμαι· τρύω τὸ καταπονῶ· καὶ τρύω τὸ κόπτω.

Τύμβος· μνημεῖον· παρὰ τὸ τίθεσθαι· ἢ τύφεσθαι ἐκεῖ τὸν νεκρόν. ὅ ἐστι καίεσθαι.

Τῦφος· παρὰ τὸ τύφεσθαι ἐκεῖ τὸν νεκρόν.

Τύμπανον· παρὰ τὸ τύπτω.

τέτομαι τύπτανον καὶ τύμπανον.
ὡς παρὰ τὸ τύκω. τύκανον. καὶ
τύγανον. τὸ τύκον τοὺς ἰχθύας.
οὕτω καὶ τὸ τυμπανίζεται. σημαί-
νει δύο. τὸ δέρμα καὶ τὸ ἀνθρω-
πινὸν σῶμα. ὡς τὸ οὗτοι δὲ
ἐτυμπανίσθησαν.

Τύπος. παρὰ τὸ τύπτω γέγονε
τύπος. ὥσπερ εἰς τὸ βουλωτήρι-
ον τυπτόμενος ὁ μόλιβδος εἰκό-
να ἀποτελεῖ. οὕτω καὶ ὁ τύπος
εἰκόνισμα ἀποτελεῖ. τουτέστιν
ὑπάρχει. σύνδεσμος διασαφητικός.
ὡς τὸ ἤγουν.

Τυραννὶς βασιλείας διαφέρει.
καὶ τύραννος ὁ βασιλέως. βασι-
λεία μὲν γάρ ἐστιν κατὰ νόμους
ἄρχουσα. ἐξουσία τις. τυραννὶς
δὲ ἡ ἄλογος ἐξουσία. αὐτονομί-
α χρωμένη. βασιλεὺς ἐστιν. ὁ κα-
τὰ νόμους δικαίως ἄρχων. τύ-
ραννος δὲ ὁ μὴ δικαίως ἄρχων.
μήτε νομίμως. ἀλλὰ καὶ τοὺς —

νόμους ἀπατῶν.

Τύραννος. ἀπὸ τύρρου τῆς πό-
λεως. ἀφ' ἧς γεγενῆσθαι αὐτοὺς
φασί. γίνεται δὲ παρὰ τὸ τείρω.
τὸ καταπονῶ καὶ τὸ ἀνιῶ. ὁ
καταπονῶν τοὺς λαοὺς καὶ ἀνιῶν.

Τύραννος. ἀπὸ τυράννου τινὸς πρώ-
του κακῶς διακειμένου. ἀπὸ τύρ-
ρου τῆς πόλεως. σημαίνει δύο.
τὸν βασιλέα. καὶ τὸν ἄνθρωπον
τύραννον.

Τυρων. πόλις ὠνόμασται ἀπὸ τοῦ
Τυρὼ ὀνόματος γυναικός. τοῦ Ἀγή-
νορος βασιλεύσαντος ἐν αὐτῇ.

Τύφρησος. πόλις ἐν τοῖς ἐσχάτοις.
ἀπὸ Τυφρήσου βασιλέως.

Τυφλός. σημαίνει τὸν ἐστερημένον
τῶν ὀμμάτων. τυφλὸς δὲ κυρίως
ὁ μετὰ τὴν γένεσιν. ἤγουν ὁ
μετὰ τὸ γεννηθῆναι αὐτὸν τυφλω-
θείς. παρὰ τὸ ἀπολωλεκέναι τὸ
φῶς. ἢ παρὰ τὸ τοὺς τύπους τῶν

ἥλων ἔχειν· ἤγουν τῶν ὀφθαλμῶν ἢ παρὰ τὸ τοὺς τύπους τοῦ φωτὸς ἔχειν.

Τυφλός· πηρός· ἀνάπηρος· διαφέ=ρει· τυφλὸς ὁ ἐκ γενετῆς· πηρὸς δὲ ὁ μετὰ τὸ γεννηθῆναι αὐτὸν τυ=φλωθείς· ἀνάπηρος· ὁ ἐν νοσήματι τυφλωθείς.

Τύφος· ἐκ τοῦ τύφω· καὶ τὸ καίω. ἐξ οὗ καὶ ἔχει τὸ υ μακρόν.

Τύχη· τὸ χρεὼν εἰρῆσθαι τὸ ἐπιβάλλον καὶ καθῆκον κατὰ τὴν εἱμαρμένην.

## Τὸ Τ μετὰ τοῦ ω.

Τῷ τινί· ἀπὸ τοῦ τὶς ὀνόματος ἀορίστου γίνεται· ἡ γενικὴ τινός· καὶ ἐκβολῇ τοῦ ν· τίος· καὶ μετά=γεται ἡ γενικὴ εἰς εὐθεῖαν· ὥσπερ ὁ καππάδοκος· τοῦ καππαδο-. ὁ καππαδόκης τοῦ καππαδόκου. οὕτω τὶς τινός· τίος· τίου· καὶ Ἀττικῶς τεῶ· ὡς ναός· νεώς· οὕτω

τρὸς ἢ γενικὴ· ἢ δοτικὴ τέῳ· καὶ
κράσει τῷ· ὅμηρος.

ὅτεοι· ὅτέῳ τῳ ἄλλῳ.

ἀντὶ τοῦ ἄλλῳ τινί. καὶ εἰς τὸ ἥττον.
καὶ ἥττης· καὶ ἡτταί· καὶ ἔο· καὶ τὸ-
-πος.

Τωθάζω· σημαίνει τὸ ἐμπαίζω καὶ
ἀπατῶ· ἐκ τοῦ θώψ· ὃ σημαίνει τὸν
κόλακα· γίνεται θωπάζω· καὶ ὑπερ-
-βιβασμῷ τοῦ ψιλοῦ καὶ μεταθέσει
τοῦ θ̄· εἰς τ̄· γίνεται τωθάζω.

Τωθάζω· ἐκ τοῦ θώψ· τὸ θῶ μέγα.
ἐκ τῆς κλίσεως· μεῖον καὶ παρ' ἐχ-
-θρῶν θῶπας· ἐκ τούτου γέγονε
θωπάζω· καὶ τροπῇ τοῦ θ̄· εἰς
τ̄· καὶ τοῦ π̄ εἰς θ̄· τωθάζω· καὶ
τὸ ἐτώθαζον· τωπάζω δὲ τὸ ὑπονοῶ.

Τῶμοι· ἄρθρον ὑποτακτικόν· ἀντὶ
προτακτικοῦ παραλαμβάνεται· οἱ γὰρ
Αἰολεῖς τὰ προτακτικὰ ἀντὶ ὑπο-
-τακτικῶν χρῶνται· τὸ γὰρ οἷμοι· τοῖ-
-μοι λέγουσι· οὕτω καὶ ὧμοι τῶμοι· ἀντὶ
τοῦ οὕστινας.

Τῶς δε· ἀπεχθές· ἐπίρρημα ποιότητος
γίνεται δὲ ἀφαιρέσει ἐκ τοῦ οὕτως.
τῶς οἱ ποιηταὶ ἀντὶ τοῦ τότε· ὅμηρος.
τῶ μιν· τοῦ τ^χ.

## Ἀρχὴ τοῦ υ̅ στοιχείου

### τὸ υ̅. μετὰ τοῦ ᾱ.

Υἷα. ἔστιν υἷς. υἷος. ἡ αἰτιατικὴ υἷα. καὶ συναιρέσει υἷα. ἡ εὐθεῖα υἷς. διατί οὐ συναιρεῖται. διότι οὐδέποτε τῇ υι διφθόγγῳ τῇ διὰ τοῦ υ ψιλοῦ γράφεται. ἐπιφερομένου συμφώνου. τούτου χάριν ἐστὶν ἀσυναίρετος. ἡ γενικὴ υἷος. καὶ κατὰ συναίρεσιν υἷος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. καὶ γίνεται υἱός. αἱ δὲ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν. πολλάκις ἀμείβουσι τοὺς τόνους. οἷον λᾶος λάαος. λαός. υἷος. υἱός. υἱός.

Ὑάδες οἱ ἐπὶ τῶν κεράτων τοῦ ταύρου ἀστέρες. παρὰ τὸ ὕω. ὑετοῦ γὰρ παρασκευάσι καὶ εἰσὶ σῶου

Ὑάδες. τὸ πρόσωπον τοῦ ταύρου

ἔχουσιν. ὡς ἐπιπλατυνόμενον
ἐπὶ τοῦ μετώπου. λεπτυνόμενον
δὲ ἐξ ἀμφοτέρων τῶν μερῶν ἐπὶ
τὰ κάτω. ὥσπερ τὸ γράμμα
ἐστίν.
ὑδρία. κυρίως τὸ εἰς ὕδωρ εὔθετον
ἀγγεῖον. ὑδρία δὲ. ἡ ὕδρευσις.
ὗς. σημαίνει τὸν χοῖρον. γίνεται δὲ
παρὰ τὸ ὕω. τὸ βρέχω. φιλεῖ
γὰρ τὸ ζῶον ἐν βορβόρῳ κυλίεσθαι
ὗς ὑός. ὁ κανών. τὰ εἰς υς μονοσύλ-
-λαβα. μακροκατάληκτα. διὰ τοῦ
ος κλίνονται.
υἷας. ὄνομα αἰτιατικῆς τῶν πληθυν-
-τικῶν. ἡ εὐθεῖα υἷς. καὶ συναιρού-
-μενον. οὐ συναιρεῖται. διατί. κανὼν
ἐστὶν ὁ λέγων ὅτι οὐδέποτε. τῇ
υι διφθόγγῳ. τῇ μετὰ τοῦ υ ψιλοῦ
καὶ ι. προσγεγραμμένου σύμφωνον
ἐπάγεται. διὰ τοῦτο οὐ συναιρεῖ-
-ται. ἡ γενικὴ υἷος. καὶ συναιρέσει
υἷος. ἡ υἷος ἐκ τοῦ υἷος. καὶ ἡ εὐ-
-θεῖα τῶν πληθυντικῶν υἷες —

Ἀχαιῶν· καὶ ἡ αἰτιατική· υἷας· υἷας σωσελκύσητε τῷ σῷ βασιλεῖ· λοιπὸν ὡς κήρυξ· κήρυκος· ὡς ἀπὸ τῆς γενικῆς γίνεται υἱός· παρὰ τὸ φύω· τὸ γεννῶ· φυὸς· καὶ υἱός.

τὸ υ μετὰ τοῦ β.

ὕβρις· ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας αἰκία· ἢ παρὰ τὸ ὑφαιρῶ ὕφρις· ὡς χαίρω· χάρις· καὶ τροπῇ· τοῦ φ· εἰς β· ὕβρις· οἷον ὑποβάρης τὶς οὖσα.

ὕβρις· παρὰ τὴν ὑπὲρ πρόθεσιν γέγονεν ὕπερις καὶ κατὰ συγκοπὴν ὕπρις· καὶ τροπῇ τοῦ π εἰς β· ὕβρις· ὕβρις γάρ ἐστι κυρίως· ἡ ὑπερηφάνεια· καὶ ὑβριστὴς ὁ ὑπερήφανος· καὶ ὁ ἔχων συχνῶς τὰς ὕβρεις.

τὸ υ μετὰ τοῦ γ.

ὑγίεια· ἡ εὐεξία· τετρασυλλάβως· ὡς καὶ ἐν τῇ κωμῳδίᾳ· αὗται γὰρ ἐπιθυμοῦσιν ὑγιείας· φαγεῖν.

ὑγιής· ὁ ἐν ὑγρῷ ὢν καὶ ζῶν· οἷον
ὑγριής· καὶ ἀποβολῇ τοῦ ρ̄· ὑγιής·
ὑγιεινῶς· ὑγιεινός· ὑγιής· καὶ τὸ
ἐκτικόν· ὅθεν δίερος ὁ ζῶν· καὶ
ἀλίβας ὁ νεκρός· οὕτως Ἡρωδιανός
εἴρηκεν ἢ παρὰ τὸ εὖ εἶναι· ἢ παρὰ
τὸ εὖ ἰαίνεσθαι· τουτέστιν εὐφραί-
νεσθαι· ἰστέον δὲ ὅτι τὰ εἰς ης
καθαρὰ ὀξύτονα τῷ ι παραληγό-
μενα δύο εἰσίν· ἃ καὶ εἰς ους ἔχει
τὴν γενικήν· τὸ χαρίης ἐξ οὗ καὶ
χαριέστερος· καὶ ὑγιής· ἐξ οὗ καὶ ὑγι-
έστερος· συγκριτικῶς.

ὑγρόν· οἱονεὶ ὑδρόν· ἢ παρὰ τὸ
ὕω· τὸ βρέχω· ὑόν· καὶ πλεο-
νασμῷ τοῦ γ̄· ὑγρόν.

ὑετός· ἐκ τοῦ ὕω· τὸ βρέχω· ἢ γε-
νικῇ ὑετοῦ· τοῦτο δὲ κατὰ Αἰολεῖς
ὑετοῖο.

ὑγρὸν ἔλαιον διὰ τὸ μὴ πήγνυσθαι.
ὅτι πολὺ ἔχον τὸ θερμόν· γίνεται
ὑγρὸν ὕδωρ τι ὄν· οἱονεὶ ἔνυδρον.

ἢ παρὰ τὸ ὕω τὸ βρέχω· ὕσω.
ὑσόν· καὶ πλεονασμῷ τοῦ γ̄ ὑγρόν.

τὸ ῡ μετὰ τοῦ δ̄.

ὑδεῖν· σημαίνει τὸ ὑμνεῖν· ἔστι παρὰ ὑμνῶ· ἀποβολῇ τοῦ ν̄· ὑμῶ· καὶ τροπῇ τοῦ μ̄ εἰς δ̄· γίνεται ὑδῶ· κατὰ ἀναβιβασμὸν τοῦ τόνου. καὶ ὕδεις καὶ ὕδει· καὶ τὸ ἀπαρέμφατον ὕδειν· ὕδειν ἔοικε τὴν φρέζουσαν κόρην.

ὑδεῖν παρὰ τὸ ὑάδειν· κατὰ συγκοπὴν τοῦ ᾱ· ὕδειν φησὶ Διογενιανός.

ὕδος· τὸ ὕδωρ· καὶ ἡ δοτικὴ τῷ ὕδει.

ὕδωρ· παρὰ τὸ βρέχω· τὸ ὁ ποσειδῶν.

ὕελος· ἐκ μεταφορᾶς τῆς ὕλης.

ὑετός· παρὰ τὸ ὕω τὸ βρέχω· ὑτός· καὶ πλεονασμῷ τοῦ ε̄ ὑετός. τὸ ε̄ ψιλὸν διατί· ὁ κανών· τὰ διὰ τοῦ ετος ὀνόματα ὑπὲρ

δύο συλλαβάς· ἅπαντα διὰ τοῦ
ῦ ψιλοῦ γράφονται· οἷον αὐτός·
οὗτος· πλὴν τῶν παρὰ τὸ ὗ καὶ
τῶν συγκειμένων·

ὕλη πόλις βοιωτίας·

ὕλη· παρὰ τὴν ὕλην· ἡ δὲ ὕλη· πα-
ρὰ τὸ ὕεσθαι· ὅ ἐστι βρέχεσθαι·
λέγεται δὲ τὸ λεπτότατον δέρμα
ἡ διὰ τοῦ ὑγροῦ αὐξανομένη· καὶ
εἰς τὸ αὖλος· καὶ ἶλος.

ὕλυς· μεταπλασμός· ἀπὸ τοῦ
ὕλη· τὸ ῦ μακρόν· τὸ δὲ ὕλῆς·
παρὰ τὸ ὕλω τὸ συστέλω·

ὑλομανούντων· μεμηνότων πα-
ρὰ τὴν ὕλην· ἢ τῇ ὕλῃ χαιρόντων.

ὑμέναιος· γαμικὸς ὕμνος· παρὰ
τὸ ὁμοῦ ναίειν· οἱ δὲ παρὰ τὸ
ὕμνος· ὅθεν καὶ ὑμεναιῶ δευτέ-
ρας συζυγίας· ὑμεναιώσουσι καὶ
κέρας καὶ τὸ διαφανές· καὶ τὸ
τοῖς γαμοῦσιν ἐπαδόμενον· ἤγουν
ἐπαυλούμενον· ἀπὸ ὑμέσεως —

παιδός ἢ ἀπὸ τοῦ ὁμοῦ ναίειν.

ὑδροποτεῖν· ἐκ τοῦ ὕδωρ· ὑδρο-
ποτεῖν· καὶ κατὰ συγκοπήν.
ὑδροποτεῖν.

ὑδρηλός· ὁ ὑγρός· γίνεται παρὰ
τὸ ὑδρηρός· μετατεθέντος τοῦ λ̄· εἰς
ρ̄·

ὑμήν· ὑφήν τις ἐστιν· ἀπὸ τοῦ
ὡς ὑφάσματα εἶναι· λεπτότατα
ὄντα. ἔστι δὲ τὸ δέρμα. ἢ τῶν
ἵππων τὸν μυελὸν τῆς κεφαλῆς
συνέχοντα· οὕτως Ἡρωδιανός.

ὑμήττιον μέλι· τὸ ὡσχρυσον πρὸς
ἰατρείαν.

ὑμηττός· ἔστι δὲ τόπος τῆς Ἀττι-
κῆς περὶ τὰς Ἀθήνας· ἐν ᾧ λέγε-
ται ὡς χρυσοῦν μέλι γίνεσθαι.

ὑμῖν ἀντωνυμία πρωτότυπος. ἑνι-
κὰ ἐγκλίνεται ταῦτα περισπώ-
μενα ἀναβιβάζουσι τοὺς τόνους.
ἧμιν· καὶ ὕμιν· τοῦτο δὲ τὸ ὑμῖν.
μακρὸν ἔχει τὸ ῡ· φύσει.

ὕνις· ὁ σίδηρος· γέγονε δὲ ἀπὸ τοῦ

δώη. ὁ δὲ Ἀπίων φησὶν ἀπὸ τοῦ ὑὸς τοῦ χοίρου γέγονε τὸ ὕνις. πρῶτον γὰρ ὁ χοῖρος ἐπενόησε τῷ ῥύγχει διαχίζων τὴν γῆν. ὕνις γὰρ τὸ λεγόμενον παρ' ὑμῖν ὕνιν ἐστὶ ῥῆμα δύω. πλεονασμῷ τοῦ ν. δύνω. τὸ σημαῖνον τὸ ὑπέρχομαι. ἐκ τούτου ὄνομα ῥηματικόν. δῦνις. ἀπὸ τοῦ εἰσέρχεσθαι εἰς γῆν. καὶ κατ' ἔλλειψιν ὕνις.

ὑμεῖς. ἀντὶ δευτέρου προσώπου πληθυντικοῦ ἀριθμοῦ οἱ Αἰολεῖς ἄμμες λέγουσι.

ὕμνος. παρὰ τὸ ὑμένω. τὸ ὑπομένω. ὑπόμενός τις ὤν. καὶ ἐν συγκοπῇ ὕμνος. καθὸ εἰς ὑπομονὴν καὶ πρᾶξιν ἄγει. τὰς τῶν ἐπαινουμένων ἀκοάς. καὶ ἀρετάς. ἢ παρὰ τὸ ὑμέναιος. ὃ σημαίνει τὸν ἐπιθαλάμιον οἶκον καὶ ὕμνον.

ὕμνος. ἐγκωμίου διαφέρει. καθὸ

ὁ μὲν ὕμνος ἐπὶ θεοῦ λέγεται.
τὸ δὲ ἐγκώμιον ἐπ' ἀνθρώπου.
ὑμνῳδία. ὕμνος μετ' ᾠδῆς.
ὕνις. τὸ σιδήρειον. δῦνις τὶς οὖσα.
κατὰ ἀποβολὴν τοῦ δ. ἐπεὶ κατὰ
γῆς δύνει. ἔστι δὲ τοῦ ἀρότρου
τὸ σίδηρον.
ὕνη. τὸ ἐργαλεῖον τοῦ σιδήρου.
ὕμνος. ἐστὶν ὁ μετὰ προσκυνήσεως.

τὸ υ μετὰ τοῦ π.

ὑπαγωγή. ἀπάτη. ἀναχώρησις. δίωξις
ὑποχώρησις. γέγονε δὲ παρὰ τὸ ἄγω
συντάσσεται μετὰ αἰτιατικῆς.
ὕπαιθρον. παρὰ τὸ ὑπεράνω θεω=
=ρεῖσθαι. λέγεται δὲ ὁ ἀπόσκεπος
οἶκος. ὕπαιθρον ἐκ τοῦ αἴθω τὸ
καίω. καὶ ὁ ἄοικος ἄνθρωπος. ὁ μὴ
ἔχων οἰκίαν.
ὕπαρ. ἐγρηγορότως. ἀληθὴς ὀπ=
=τασία. οὐκ ἐν ὀνείρῳ. ἀπὸ τοῦ ὦ
ῥήματος. ὃ σημαίνει τὸ ὑπάρχω.
ἀφ' οὗ ὄναρ. ὡς θένω. θέναρ. ἕδω.

ἔδαρ. καὶ εἶδαρ. καὶ μετὰ τῆς ὑπο
προσθέσεως. ὑπώ. καὶ κατὰ ἐναλλα-
-γὴν ὕπαρ. ἢ ὄναρ φαινόμενον.
ὕπαρ ὀνείρατος διαφέρει. καὶ ὀ-
-νείρου ὕπαρ. ἔστι γὰρ ὅραμα. καὶ
ἡ ἐναργὴς ὄψις. ὄνειρος δὲ καὶ ὄναρ
ἡ ἐν τῷ καθεύδειν φαντασία.
ὕπαρ. ὁ πολύαρχος. μετετέθη
καὶ ἀπὸ τοῦ ὀνόματος. ἵππαρχος.
καὶ ὕπαρχος. λεγόμενος.
ὑπερεύχει ψυχῆς κεκραμμένης
ἐπαινολόγος εἰς θεόν. σημαίνει δὲ
ἐπιθαλάμιον. τὸ εὔμαχῶ. ὁ πα-
-ρατατικὸς εἶχον. ποιητικόν.
καὶ μετὰ τῆς ὑπο προσθέσεως.
ὑπέρειχον. καὶ πλεονασμῷ τοῦ
ι ὑπερείχον. ὤφειλε δὲ ἐν τῷ
τέλει ὁ πλεονασμὸς εἶναι. ἵν'
ᾖ ὑπερεῖχον. ἐπειδὴ αἱ προσθέ-
-σεις ἐν τῷ τέλει πλεονάζουσι τὸ
ι. ὡς ἐν τῷ ἐν. ἐνί. πρός. προ-
-σί. οὕτω καὶ ὑπερείχον ὤφειλεν
εἶναι. ἀλλ' ἐπειδὴ παρέπεται

ταῖς προσθέσεσι. τὸ μέχρι τῆς
δισυλλαβίας αὔξεσθαι. τούτου χά-
ριν οὐ πλεονάζει. ἵνα μὴ ὑπερέχῃ
τρισύλλαβος ἡ πρόσθεσις. διατί
ἀναβιβάζει τὸν τόνον. πᾶς παρῳ-
χημένος χρόνος τὸν προσγινόμε-
νον αὐτῷ χρόνον ἀποβάλλων.
ἐν τῇ συνθέσει προπαροξύνεται.
οἷον εἶχον κατεῖχον.

ὑπεμνήμυκεν. ἔστιν ἠμύω. ὃ ση-
μαίνει τὸ ὑποκλίνω. καὶ καταπίπ-
τω. ὁ παρακείμενος ἤμυκα. ὁ
Ἀττικὸς ὤφειλεν ἠμήμυκα. ἀλλ'
ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος
ἀπὸ βραχείας ἄρχεται. τούτου
χάριν συστέλλει. τὸ η. εἰς ε. καὶ
ἐγένετο ἐμήμυκα. καὶ πλεονασμῷ
τοῦ ν. διὰ χρείαν ποιητικὴν ὑ-
πεμνήμυκα.

ὑπομέμυκεν. ὑπεστυγνίακεν. ἐν
ὑπομνήσει ὑπῆρχεν.

ὑπερφήνειε. δηλώσειε. τὸ θέμα

ἐμφαίνω. ἐμφανῶ. ὁ πρῶτος ἀό-
ριστος ἐνέφηνα. καὶ κατὰ Ἀττικὴν
τροπὴν τοῦ ᾱ. εἰς η̄. ἐνέφηνα. καὶ
τὸ εὐκτικὸν αὐτοῦ ἐμφήναιμι. καὶ
οἱ Αἰολεῖς τὰ εὐκτικὰ τοῦ ἀορίστου
διὰ τοῦ εια προφέρουσιν. οἷον
τύψαιμι. τύψειας, ἐμφήνειας.
ἐμφήνειε. καὶ μετὰ τῆς ὑπὸ προ-
θέσεως. ὑπεμφήνειε.
ὕπατος. σημαίνει ἡ λέξις τὸν ὑπερ-
έχοντα. εἴρηται παρὰ τὴν ὑπὸ
πρόθεσιν. δηλοῦσαν τὸ ὑπεράνω.
ὑπότατος. ὑπότερος. ὁ κατώτερος.
συγκοπῇ ὕπατος. ὁ ὑπέρτατος
τόπος καὶ ὑψηλός. σημαίνει δὲ καὶ
τὸ κατώτατον. ὥσπερ Ἀπολλώνι-
ος.

Αὐτὰρ ὅ τοισι μεγάλα μόγις ἐξ ὑπάτ.
Στήθεος ἀποπνεύσας —

βαθύτατον καὶ κατώτατον.
ὑπεράγανται. ὑπερθαυμάζουσιν. ἢ
φθονοῦσιν. τὸ γὰρ ἄγω οὐ μόνον

τὸ θαυμάζω δηλοῖ ἀλλὰ καὶ τὸ
φθονῶ. ὅμηρος.

ὡς δ' ἂν νῦν μοι ἄγασθε θεοὶ βροτὸν ἄνδρα παρεῖναι.

ἀντὶ τοῦ φθονεῖτε. ἄγω, ὅθεν τὸ θαυ-
μάζω. καὶ ἐκπλήττομαι. ἀπὸ τοῦ
χαίρειν. ἢ ἀπὸ τοῦ ἄγη. ὅπερ ἐστὶν
ἀπὸ τοῦ ἄγω ἐκ τῆς παρεπομέ-
νης ἀφωνίας. τῇ ἐκπλήξει.

ὑπερασπιστής. βοηθός. ἐκ τῆς
ὑπὲρ προθέσεως. καὶ τοῦ σπίζω
τὸ ἐκτείνω. καὶ μετὰ τοῦ στερη-
τικοῦ α. ἀσπίζω. τὸ οὐκ ἐκτεί-
νω. καὶ ἀσπίς. ἀσπὶς τοῦτο
παρὰ τὸ σπῶ. σπὶς. καὶ ἀσπίς.
ἢ κυκλοτερὴς οὖσα.

ὑπάγειν τοῦ προβῆναι διαφέ-
ρει. προβῆναι μὲν γάρ ἐστι
τὸ βαίνειν. ὑπάγειν δὲ. τὸ ὑπὸ
ζυγὸν ἄγειν βοῦν. ἢ ἵππον ἢ
ἄλλο τι. ὡς ὅμηρος. οἱ δὲ βουλόμε-
νοι τῇ λέξει ταύτῃ. φαίνονται
ὑπάγειν λέγεται. ἀντὶ τοῦ —

194

προσάγειν εἰς ὑπογραμμόν ἤγουν
ἀντί τοῦ προσηγεῖσθαι. ὥς φησίν
Ἀριστοφάνης ὁ κωμικός.

β σὺ δ' ὑπάγεις τὸν ὄρνον
ἀντί τοῦ ἐπάγει. κέκρηται αὐτῇ
τῇ λέξει. ἔμβατος λέγων
σὺ δ' ὑπάγεις εἰς τὸ ἔμπροσθεν.

ὑπερβασία. ἡ παραβασία. καὶ
ἡ ἀδικία. καὶ τὸ ὑπὲρ τὸ δίκαιον
πράττειν τι. γίνεται δὲ βίβημι.
βιβῶ. βέβηκα. βέβημαι. βέβασαι.
βασία. καὶ ὑπερβασία. τὸ σι. τι.
τὰ διὰ τοῦ σια θηλυκά μονογε:
:νῆ. πρὸ μιᾶς τὸν τόνον ἔχει.
καὶ διὰ τοῦ τ. γράφεται. οἷον
γερουσία ἐκκλησία. πανδαισία.
οὕτως οὖν καὶ ὑπερβασία.

ὑπερήφανος. ἐκ τῆς ὑπὲρ προ:
:θέσεως. καὶ τὸ φαίνω. ὑπερήφα:
:νος τις ὤν. καὶ ὑπερήφανος.
ὁ ὑπεράνω πάντων φαινόμενος.

ὑπερθετικόν. εἰς τὸ ἑκουσίως καὶ
πρωτίσω.

ὑπέρμορα παρὰ τὸ πρέπον. ὑπὲρ τὸ δέον. ἐπίρρημα μεσότητος. φύσει ἐστὶν ἢ θέσει. φύσει τὰ εἰς ᾱ λήγοντα. οὐδέτερα εἰ μὲν μετὰ ὀνομάτων συντίθεται. ὀνόματα εἰσίν. οἷον καλὰ γράμματα. καλὰ περίβολα. εἰ δὲ μετὰ ῥήματος σύνταξις. ἐπιρρήματα εἰσίν. οἷον καλὰ γράφει. ἀντὶ τοῦ καλῶς. καὶ καλὰ ἀναγινώσκει. ἀντὶ τοῦ καλῶς. οὕτως οὖν ὑπέρμορα ἐτύχθη. ἀντὶ τοῦ ὑπὲρ τὸ προσῆκον ἐτύχθη.

ὑπεροπλίῃσιν. ὑπερηφανίαις. παρὰ τὸ ὅπλον ὑπεροπλία. σημαίνει δὲ τὴν ὑπερηφανίαν. μεταφορικῶς δέ ἐστιν ἡ λέξις ἀπὸ τῶν τὰ ὅπλα φερόντων.

ὑπεροψία. ἡ ὑπερηφανία. καὶ ὑπερόπτης. παρὰ τὸ θεωρεῖν. ἢ διὰ τὸ ὑπερορᾶν πάντων.

ὑπέρφιλος. μέγας.

ὑπερήφανος· τὸ φι. ῑ. ὡς τὸ
ἅγιος· ὅρκιος.
ὑπερφίαλος· ἀπὸ τῆς ὑπερ
προθέσεως· καὶ τοῦ φίλος· ὑπερ
φίαλον λέγεται· τὸ πολὺ καὶ ἄμε
τρον· ὡς τῆς φιάλης ἀμέτρου οὔ
σης· ἐξ οὗ καὶ ὑπερφίαλος λέγεται
ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ· τὸ
μέτρον τῆς φιάλης· φιάλη δὲ πα
ρὰ τὸ ποιεῖν ἀπ' αὐτῆς ἅλις.
ὑπερφυῶς· μεγάλως· καὶ ἐπίρρη
μα μεσότητος· καὶ γίνεται ἐκ τοῦ
ὑπερφυής· ὃ σημαίνει τὸν ἔνδοξον
καὶ μέγαν.
ὑπερῷον· οἴκημα ἀνώγεων· ὑπερώ
ιον τι ὂν τόπου. τὸ ὑπεράνω τοῦ
κάτω ἴον· καὶ ὑπερῷον. διὸ καὶ
τὸ ι. ἔχει. προσγεγραμμένον. ἢ
παρὰ τὸ ἄνω ὁρᾶσθαι.
ὑπερῷα· τὸν οὐρανίσκον λέγουσι.
ὑπερῷα· καὶ ὑπερῷου διαφέρει.
ὑπερῷα μὲν ὁ οὐρανίσκος· θηλυ
κῶς· ὑπερῷον οὐδετέρως τὸ
ἀνώγεων.

ὑπερῷα· τὰ πρός τισι μετέωρα.
ἀπὸ μεταφορᾶς τῶν ὑπερῴων.
τῶν μετεώρων οἰκοδομημάτων.
ὑπερακόντισαν· ἐκ τῆς ὑπὲρ
προθέσεως· καὶ τοῦ ἀκοντίσαι. γίνε
:ται ὑπερακοντίσαι· σημαίνει δὲ
τὸ ὑπερέβη. ἐκ τοῦ ἀκοντίζω.
ὑπέσχετο· ἐπηγγείλατο.
ὑπὲρ σοῦ λέγεται. οὗ τὸ θέμα ἔχω.
ὁ μέλλων ἕξω· ὁ παρακείμενος
εἶχον. ὁ δεύτερος ἀόριστος οὐκ ἔστιν.
ἵνα μὴ συμπέσῃ τῷ παρατατικῷ.
προσέλαβεν. ἀντὶ τοῦ ι. τὸ σ.
καὶ ἐγένετο ἔσχον· ὁ μέσος ἐσχό
:μην· ἔσχετο· καὶ ὑπέσχετο.
ὑπερώδιον· καὶ περιώδιος. ἐπεκ
:τάσει τοῦ ο. εἰς ω παρ' ὁμήρῳ.
ὄδιον.
ὑπετόπαζον· ὑπενόει. καὶ ὑπο
:τοπάζειν τὸ στοχάζεσθαι καὶ
ἐνθυμεῖσθαι· ἀπὸ τοῦ ὑποτυποῦ
:σθαι ἐν τῷ νοΐ· ἔστιν οὖν τύπος
τυπῶ· τοπάζω· καὶ ὑποτοπάζω.
καὶ τροπῇ τοῦ υ. εἰς ο ὑποτοπάζω.

συντάσσεται μετά αἰτιατικῆς καί
γενικῆς.
ὑπερφωνῶ· τό πλεῖον φωνῶ.
ὑπετύφετο· δέ αὐτοὺς ἡ δυσμένεια.
ἐσβέσατο· ἀνωρεῖτο. λαμβάνεται δέ
τό τύφεσθαι. καί ἐπί τοῦ σωτεί-
-βεσθαι. καί τύφεσθαι τό χωρίς
φλογός καπνόν ἀνιέναι. παρά δέ
τῷ Πλάτωνι ἐν Φαίδρῳ. καί ἐπί
τοῦ τεφῶσθαι τήν διάνοιαν· τυφεδών
δέ ἡ καῦσις.
ὑπήνη· αἱ ὑποκάτω τοῦ γενείου
τρίχες. παρά τό ἵημι. ὁ μέλλων
ἥσω· ἥνη. καί ὑπήνη· παρά τήν
ἕσιν τῶν τριχῶν. οὕτω Φιλόξενος.
ἐξ οὗ καί ὑπήνιος.
ὕπνος· θανάτου σκιά.
ὑπερσβία· ὑπερεγασβία τίς ἐστιν.
ὑπηνήτης. ἀκμαῖος· ἄρτι γε-
-νειῶν. ὑπήνη γάρ λέγεται. ἡ τοῦ
ἄνω χείλους τρίχωσις. οἷον ὑπη-
-ένη τις οὖσα. παρά τό ἄνω ὑπεῖ-
-ναι.
ὑπερέτης ἐκ τῆς ὑπέρ προθέσεως.

καὶ τοῦ αἴρω τὸ ἐπαίρω. γίνεται
ὑπαιρέτης. καὶ τροπῇ ὑπηρέτης.
ὁ πρὸς τὸ αἴρειν ἐπιτήδειος.
ὑπηρέτης. ἐκ τῆς ὑπὸ προθέσεως.
καὶ τοῦ ἐρέσσω. τὸ κωπηλατῶ.
κυρίως γὰρ ὑπηρέτης λέγεται ὁ
ναύτης. οἱονεὶ ὑποερέτης. καὶ ἐκ-
βολῇ τοῦ ο. ὑπερέτης. καὶ τρο-
πῇ τοῦ ε. εἰς η. ὑπηρέτης. ἐκ
δὲ τούτου γίνεται ῥῆμα. ὑπηρετῶ
ὁ πρὸς τὴν ἔρειν ἐπιτήδειος.
ὕπνος θανάτου σκιά. παρὰ τὸ
ὑπονοστεῖν. ἤγουν ὑποχωρεῖν.
ἐν αὐτῷ γὰρ αἱ αἰσθήσεις ὑποχω-
ρέουσιν. ἤγουν ἀτεκμοῦσιν.
ὕπνος. ὁ ὑπόνοος. ἀφαιρεῖ γὰρ
τὸν νοῦν. ὅθεν ἄτεκμον φασὶ τὸν
ἄϋπνον.
ὑπογραφή. ὡς ὑπογραφὴν τελοῦ-
σα.
ὑποβάθρα. ὑπόβασιν ὑποκεί-
μενα.
ὑπιαχνούμενος. παρὰ τὸ ἰάχω.

καὶ ἐξ αὐτοῦ ἴχω· καὶ πλεονασμῷ
τοῦ ν· ἰχνῶ· ἡ μετοχὴ ἰχνούμενος.
καὶ κατὰ τῆς ὑπὸ προθέσεως ὑπι:
χνούμενος· καὶ σημαίνει τὸ ἐπαγ:
γελόμενον·

ὑπόγυιον· πρόσφατον· ἐγγύτατον.
νεωστὶ γεγονός· πρὸς ὀλίγον· μετ' ὀλί:
γον· παρὰ τὸ γυῖον· ὃ σημαίνει τὸ
μέλος· ὅσον τῶν μελῶν.

ὑπόδημα· διὰ τὸ ὑποκάτω ὅλου
δῆμα· ἢ δέμα· ἢ παρὰ τὸ δέω τὸ
δεσμεύω· δῶ· δήσω· δέδηκα· δέδη:
μαι· καὶ ἐξ αὐτοῦ δῆμα· καὶ ὑπό:
δημα μετὰ τῆς ὑπὸ προθέσεως.

ὑπόχρον· ἐκ τοῦ ὦχρον· ὃ σημαί:
νει τὸν ἄχροον· καὶ μετὰ τῆς
ὑπὸ προθέσεως· ὑπόχρον

ὑπόδρα· δεινῶς περιβλεψάμε:
νος· καὶ ἐπίρρημα μεσότητος.
ἀντὶ τοῦ χαλεπῶς· ἐκ τοῦ δρά:
σω· τοῦτο ἐκ τοῦ δρῶ· δράξω·
καὶ ἀποβολῇ τοῦ ξω· δρα καὶ
ὑπόδρα·

ὑπόδρα· ἐπίρρημα μεσότητος·
πόθεν γίνεται; ὁ μὲν Ἀπολλόδωρος
λέγει δύο παραγωγάς· ὁ δὲ Ἡρω-
διανὸς μίαν ἀπὸ περισπωμέ-
νων οὕτως· ἀπὸ τοῦ ῥεγμῶ γίνε-
ται ῥέγμα· καὶ ῥιγῶ· ῥίγα· οὕτω
καὶ ἐκ τοῦ ὁρῶ· καὶ τῆς ὑπὸ
προθέσεως· γίνεται ὑπόρα· καὶ
πλεονασμῷ ὑπόδρα· τὸ ὑφορᾶ-
σθαι ἐστί. καὶ ἄλλως· ἔστι γὰρ
δρῶ· καὶ σημαίνει τὸ βλέπω·
ἐξ οὗ καὶ

— τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν —

ἐκ δὲ δρῶ· γίνεται δρᾶ· καὶ
μετὰ τῆς ὑπὸ προθέσεως ὑπό-
δρα. τὸ δὲ δεινῶς βλέπειν.
ὁ δὲ Ἡρωδιανὸς λέγει. ὅτι ἐκ
τοῦ ὑποδρὰξ γέγονε· καὶ διατί
ὀξύνεται· ἐπειδὴ τὰ εἰς ξ λήγον-
τα ἐπιρρήματα· χωρὶς εἰ μὴ
παρὰ προθέσεως γίνονται· ἅπαν-
τα ὀξύνεται· οἷον ὀρὰξ· σημαίνει

δὲ τὸ ἐκ πλαγίου. ἀπρίξ. ἐναλ-
λάξ. κουρίξ. εἴπῃ δὲ εἰ μὴ
παρὰ προθέσεως γίνεται διὰ τὸ
πέριξ. τὸ γὰρ πάρεξ. ἔχει μὲν
πλέον τι σημαινόμενον. ὅτε δὲ
ὀξύνεται οὔ φαμεν ἐπίρρημα.
ἀλλὰ δύο προθέσεις. σεσημείωται
τὸ ἄπαξ. καὶ τοῦτο ὅπερ ὤφει-
λε δέξασθαι ἐν τῇ ἁπλότητι
ἐδέξατο ἐν τῇ συνθέσει. ἄπαξ
ἁπλῶς. τὸ δὲ ὑποδράξ. ἀποβα-
λὸν τὸ σύμφωνον ἀνεβίβασε
τὸν τόνον.

ὑποπόδιον παρὰ τὸ τοὺς πό-
δας πόδιον καὶ ὑποπόδιον.

ὑπωπιάζω. τὸ ἐπιτηρῶ καὶ φυ-
λάττω. ὑποπιέζω δὲ τὸ θλίβω.
καὶ σφίγγω. τί διαφέρει τὸ ὑπω-
πιάζω τοῦ ὑποπιέζω. τὸ μὲν ὑπο-
πιέζω. κοινόν ἐστι. τὸ δὲ ὑπωπιά-
ζω δωρικόν. τὸ γὰρ η α τρέπουσι.

ὑποστηρίζω. παρὰ τὸ ἵστημι. στήσω.

ςπείζω. καὶ ὑποσπείζω.

ὑποψία. ὑφοράσεως διαφέρει.
ὑποψία μέν ἐστι κακοῦ τινὸς ὑπό=
=νοια. ὑφόρασις δέ δόξα. καί ἐπί
τῶν χειρῶν.

ὑποπιεσμός. ἐνταῦθα. διά τοῦ
ο μικροῦ γράφεται. τό πο. ἀπό
γάρ τοῦ ὑποπιέζειν τινά ἑαυτόν
ταπεινοῦν καί ἐκθλίβειν εἴρηται
ὑποπιεσμός. ἑτέρωθι δέ διά
τοῦ ω γραπτέον. καί διά τοῦ ᾱ.
ὑπωπιασμός. ἐστιν ἔλεγχος. ὑπω=
=πιάζειν γάρ ἐστι τό ἐκτείνειν.
ἐλέγχειν τινά ἑαυτόν. διά τῶν ἐν
τῷ σώματι αὐτοῦ ὑπωπίων. ἤτοι
μωλώπων. ὑπωπιάζει τυχόν
ὁ αἰκισθείς.

ὑπόδρα. ὅμηρος παρά τό δρῶ
τό ὑφορῶ. ἤ παρά τό δέρκω. τό
βλέπω. καί κατά συγκοπήν. δρῶ.
δράσω. δράξω. δράξ. καί ὑπόδραξ.
κατά συγκοπήν τοῦ ξ ὑπόδρα.
ἐκ τούτου καί δραπέτης. ὁ ὑπο=
βλεπόμενος ἐν τῷ πέτρᾳ ἤγουν

φεύγειν. ὅθεν καὶ ὑπόδρον λέγεται ἀντὶ τοῦ ὑφορώμενον.

ὑποχίδεια τὰ ἀκρόσπαθα τὰ ὑπὸ τὸν λαγόνα.

ὑποταγήσεται. ἐκ τοῦ ὑποτάσσω. ὁ δεύτερος ἀόριστος ὑπέταγον. ὑπετάγην. ὑποταγήσομαι. ὑποταγήσεται.

ὑποσκελίσαι. ἐκ τοῦ ὑποσκελίζω. τοῦτο παρὰ τὸ σκέλος. τοῦτο παρὰ τὸ σκέλω τὸ ξηραίνω. ἡ σκέλος λέγεται παρὰ τὸ ξηρότερον. ἤγουν σκληρότερον εἶναι τῶν λοιπῶν μελῶν.

ὑπόρεινον. τὸ τοῦ ὄρους. ὑπόρεινον δὲ τὸ ἐπὶ τῆς ῥινός.

ὑποσμύχουσα. διερεθίζουσα. ὑποκαίουσα. θλίβουσα. καταπονοῦσα. καὶ ὑποσμίχουσα. τὸ ἠρέμα ὑπολάμπειν. ἀπὸ τοῦ μυχοῦ τοῦ σκοτεινοῦ τόπου ἀφεγγοῦς. ἢ τὸ τυφλώττειν καὶ μεμυκέναι.

ὑποστέλλεται. ἀναδύεται. ὑποκρύπτεται.

ὑπόσχεσις ἐπαγγελίας διαφέρει.
ὑπισχνεῖται μὲν γὰρ αὐτόν τις δίδο:
:ναι τί μέλλον. ἐπαγγέλλεται δὲ ὁ
δίχα παρακλήσεως παρέχειν βουλό:
:μενος. καὶ εἰς τὸ ὑπέσχετο.
ὕπουλος ἄνθρωπος. ἀπὸ μεταφο:
:ρᾶς τῆς τῶν τραυμάτων ἀπονε:
:μομένης οὐλῆς. οἷον ὁ μὴ προφανής.
ὁ πονηρός. ὕπουλος γὰρ ὁ ἐγγὺς
τοῦ ὑγιασθῆναι μώλωψ.
ὑπόψιος. παρὰ τὸ ὕποπτος γίνε:
:ται. καὶ τροπῇ τοῦ τ̄ εἰς σ̄.
καὶ κράσει τοῦ π̄. καὶ σ̄. εἰς ψ̄.
ἐπειδὴ ἐξ αὐτοῦ γίνεται ὑπόψιος.
τὸ ψι. ι.
ὕπτιος ὑπονώτιός τις ὤν. ὁ ὑπὸ
νῶτα πεπτωκώς.
ὕπτιος ὁ ὑψηλός. καὶ ὕπτιος ὁ
ἀνάσκελος πεσών.
υἱός. δισυλλάβως. δίφθογγος γὰρ
ἡ υι ἐστι δὲ ὄνομα ἁπλοῦν προση:
:γορικὸν εἴδους τῶν ὑποπεπτω:
:κότων. τῷ ὀνόματι. πρός τι.

ἔχει γὰρ πρὸς τὸν πατέρα ὁ
υἱός. γίνεται παρὰ τὸ ὕω τὸ
βρέχω. ὁ τοῦ πατρὸς καὶ τῆς
μητρὸς ἐν εὐφρασίᾳ ὤν.
υἱός. διὰ τὸ εἶναι ὅμοιος τῷ
πατρί.

τὸ ῡ μετὰ τοῦ σ̄

ὗς. ὁ χοῖρος. παρὰ τὸ ὕω τὸ
βρέχω. φιλεῖ γὰρ τὸ ζῶον ἐν βορ-
βόρῳ κυλίεσθαι. ὗς ὁ κανών. τὰ
εἰς ῡς μονοσύλλαβα μακροκατά-
ληκτα. διὰ καθαροῦ τοῦ ῡς κλί-
νονται.
ὑσμίνη. παρὰ τὸ δυσμενής τις
εἶναι. ἢ παρὰ τὸ ὑπομένειν
γίνεται ὑπομίνη. καὶ συγκοπῇ
τῆς πο συλλαβῆς. καὶ πλεονασ-
μῷ τοῦ σ̄ γίνεται ὑσμίνη. χρεία
γὰρ ὑπομονῆς ἐν τῷ πολέμῳ.
σημαίνει δὲ τὴν μάχην.
ὕσσωπον παρὰ τὸ ὕω. τὸ βρέχω.

ὁ μέλλων ὄψω· καὶ τὸ ὦψ· ὠπός.
ὃ σημαίνει τὸ πρόσωπον· καὶ
τὸν ὀφθαλμόν. ἔστι δὲ βοτάνη· κα-
θαρτική εὔπεψ. παρομοία σαμ-
ψύχω. σημαίνει δὲ δύο τὸ ὕσσω-
πον τὴν βοτάνην καὶ τὸν σπόγ-
γον.
ὕστατα. ἐπίρρημα μεσότητος.
διατί καλοῦνται μεσότητος. ἐπειδὴ
ἀπὸ μέσων ὀνομάτων παράγονται.
ἀπὸ ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδε-
τέρου. ἐὰν μὴ εἰσὶ τριγενῆ· μεσότη-
τος ἐπίρρημα οὐ ποιοῦσι. καὶ πῶς
ἐστιν ἐπίρρημα. κανὼν γάρ ἐστιν ὁ λέγων
ὅσα ἐν ὁμονοίᾳ καθίστανται πληθυντι-
κὰ ὀνόματα, ταῦτα καὶ εἰς ἐπιρρη-
ματικὴν μετάγονται σύνταξιν. ὥσπερ
ἐστί. τὸ ἥδιστα. ὅσω μᾶλλον. ἥκιστα
ἀντὶ τοῦ οὐδαμῶς. τοῦτο ἀπὸ τοῦ
οὐδετέρου. ἐστιν εὐθεῖα τῶν πλη-
θυντικῶν ὕστατα. καὶ μετάγεται εἰς
ἐπίρρημα.

ὕστερα ἐπὶ τῆς μήτρας. ἤτοι ἀπὸ
τῆς θέσεως. ἢ ἀπὸ τοῦ μὴ ὠθεῖσ-
ὕστατος. ὁ ἔσχατος. ὁ τελευταῖος.
ἐκ τῆς ὑπὸ προθέσεως. ὑπότε-
ρος. καὶ συγκοπῇ ὕτερος. καὶ
πλεονασμῷ τοῦ σ ὕστερος καὶ ὕστατος.
. . . . . . . ἴδιος τύπος
ἐστιν. κανὼν γάρ ἐστιν ὁ λέγων. ὅτι
τὸ ο συγκοπτόμενον πέφυκε γί-
νεσθαι τὸ σ. οἷον ἐστὶν οὕτως.
ἔστι γὰρ θεόφαντον ὄνομα. καὶ συγ-
κοπῇ τοῦ ο. καὶ πλεονασμῷ τοῦ σ
θέσφατον. οὕτως οὖν καὶ θεόκελος.
θέσκελος. καὶ οὐδέτερον θέσκελον.
καὶ θέσκελα. οὕτως καὶ ὑπότερος
ὕστερος. καὶ ὕστατον τὸ ὑπερθετι-
κόν.

ὕστερος. ὥσπερ παρὰ τὴν πρὸ
πρόθεσιν γίνεται πρότερος. καὶ
παρὰ τὴν ὑπὲρ ὑπέρτερος. καὶ
συγκοπῇ τῆς περ συλλαβῆς. γίνε-
ται ὕτερος. καὶ πλεονασμῷ τοῦ
σ ὕστερος.

ὕσειξ· ἰμόνιος ἤτοι ὁ λεγόμενος
ἀκανθόχοιρος·
ὑσεῖχις· δὲ ἡ ὕασειξ· ἐκ τοῦ ὗς
καὶ τοῦ ἀείξ· καὶ γίνεται ὑσείχιδος.

τὸ ῡ μετὰ τοῦ φ.

ὕφα· τὸ ὕφασμα.
ὑφαίνω· ἐκ τοῦ φαίνω· τοῦτο ἐκ
τοῦ ὕφος· τοῦτο παρὰ τὴν ὑπὸ πρό:
:θεσιν· καὶ τὸ ὅς· ὅθεν φησὶ ὁ ἴσος.
ποίου εἴδους. μετὰ φυσικοῦ ἀπὸ ἀψ:
:ύχων. ἐπὶ ἐμψύχων·
ὑφάντης· παροξυτόνως· τὰ εἰς της
ὀνόματα τὴν παραλήγουσαν· εἰς
ἀμετάβολον λήγουσαν παροξύνονται.
Λαέρτης. ὑφάντης· καὶ γίνεται ἀπὸ
τοῦ ὑφαίνω.
ὑφείμενος· ἵημι· ἥσω· ἧκα· ὁ παθη:
:τικὸς εἷμαι· ἡ μετοχὴ ὁ ἕμενος.
καὶ εἵμενος· πλεονασμῷ τοῦ ι.
μετὰ τῆς προθέσεως ὁ ταπεινός.
ὑφελεῖν· εἰ μὲν σημαίνει

— ἀπὸ τῆς ὀργῆς· συντάσσε:
:ται· μετὰ γενικῆς· εἰ δὲ σημαίνει

τὸ κρατῶ μετὰ αἰτιατικῆς.

ὑφορῶμαι· ἀντὶ τοῦ κρυπτῶς βλέ-
-πω· ἢ ὑπονοῶ· ἢ φοβοῦμαι.

## Τὸ ῡ μετὰ τοῦ ψ̄.

ὑψήγορος· ἐκ τοῦ ὕψος καὶ τοῦ ἀ-
-γορῶ γίνεται ὑψήγορος· καὶ τροπῆ
τοῦ ᾱ· εἰς η̄ ὁ τὰ ὑψηλὰ καὶ τὰ
μεγάλα δημηγορῶν.

ὑψηλός· ὑψήγορός τις ὤν· ὁ εἰς ὕψ-
-ει ἠρμένος· ὑψηλὸς παρὰ τὸ ὕψος.
ἢ παρὰ τὸ ὑψώσω.

ὑψηλότερος· οὕτως ἡ παράδοσις.
τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἱματίου.

ὑψηλότερον· παρὰ τὸ εἶναι ἀόρα-
-τον· ἐὰν γὰρ γῆ ἔχῃ αὐτὸ τὸ ση-
-μαινόμενον σῶμα. ὡς τὸν οὐρανὸν
ὁ ἥλιος τῇ ἡμέρᾳ· καὶ οἱ ἀστέρες
τῇ νυκτί.

ὑψιπέτης ὁ εἰς ὕψος πετάμενος.
τῷ δὲ τόνῳ ἀναγνωστέον· ὡς νεφελη-
-γερέτης.

ὑψιπέτης δὲ ὁ ἀπὸ ὕψους πεπ-
-τωκώς.

ὑψίζυγος· ὁ ἐπὶ ὑψηλοτέρου θρό-
νου καθεζόμενος· καὶ τὴν τῶν ἄνω
ἔχων καθέδραν· ἡ μεταφορὰ ἀπὸ
τῶν ἐν ναυσὶ ζυγῶν· ἐφ' ὧν καθέ-
ζονται οἱ ἐρέσσοντες· ἢ ὁ ἐν ὕψει
ζυγοστατῶν, καὶ ἀπονέμων ἑκάστῳ
τὸ πρεπόμενον.

ὑψίσταροι· αἵρεσις αὕτη· ἄνθρωποι
γάρ τινες αἱρετικοί· οὔτε πατέρα
οὔτε υἱὸν ὁμολογοῦντες, εἰ μὴ
μόνον ὕψιστον.

ὕψιστος ὁ ἐν ὕψει ἑστώς· γίνεται
ἐκ τοῦ ὕψιστος· τὸ συγκριτικὸν
ὑψείων, μεταβάντα εἰς ὑπερθετι-
κόν· εἰ μὲν εἴη δισύλλαβα παρα-
τηρεῖ τὴν παραλήγουσαν· οἷον
πλείων πλεῖστος· ῥάων ῥᾷστος· εἰ
δὲ ὑπὲρ δύο τρέπει· αὐτὴν ἐν τῷ
ὑπερθετικῷ· ἀρείων ἄριστος· οὕτω
καὶ ὑψείων· ὕψιστος.

## Ἀρχὴ τοῦ Φ̄· στοιχείου

### τὸ Φ̄· κατὰ τοῦ Ᾱ·

Φάανθην· ἐφάνη· ἀόριστος πρῶτος
παθητικοῦ· ἀπὸ τοῦ φαίνω· ὁ
πρῶτος παθητικὸς ἀόριστος ἐφάνθη·
καὶ τὸ τρίτον τῶν πληθυντικῶν
ἐφάνθησαν· καὶ ποιητικῶς· Αἰολι=
=κῶς· ἢ δωρικῶς· φάανθεν· πλεονασ=
=μῷ τοῦ ᾱ· ἔθος ἔχουσιν οἱ Αἰολεῖς·
καὶ δωριεῖς τὰ ἔχοντα ῥήματα τὴν
μετοχὴν εἰς σ̄· μετ' ὀξείας τάσεως·
σχηματίζειν τὰ τρίτα τῶν πλη=
=θυντικῶν· ὡς καὶ τὸ κόσμηθεν.

Φάβα· φαβώνιος· παρὰ Ῥωμαίοις
ὁ ζέφυρος καλεῖται· οὗ καταρχομέ=
=νου πτῦ πέφυκεν ὁ τοιοῦτος βλασ=
=τάνειν καρπός.

Φάγομαι· τοῦ φαγεῖν· καὶ τὸ ἀπα=
=ρέμφατον φαγεῖν· ἐκ τοῦ φάγω· ὁ
δεύτερος ἀόριστος ἔφαγον· καὶ ὁ μέσος
μέλλων φαγῶ· καὶ ὁ μέσος μέλλων

δεύτερος· ὤφειλεν εἶναι φαγῆμαι· ὡς πιῆμαι. ἀλλὰ σεσημείωται τὸ φάγομαι· πίομαι· ἔδομαι· καὶ τὸ δεύτερον φάγῃ· πίῃ· ἔδῃ. φάγονται τὸ ῥῆμα φάγω· καὶ τὸ παθητικὸν φάγομαι. καὶ τὸ τρίτον τῶν πληθυντικῶν φάγονται.

φάρυγξ· παρὰ τὸ φέρω· δι' ἧς φέρεται τὸ πνεῦμα. καὶ ἔστι παρώνυμον. φέρω· φόρος· καὶ φάρος παρώνυμον. ὅμως φάρυγξ.

φάραγξ· λέγεται τὸ ἀπόσπασμα τῆς γῆς. εἴρηται ἀπὸ τοῦ σπαράσσω. σπάραγξ· καὶ φάραγξ.

φάεα· φάη· ὀφθαλμοί· ὅτι ἐξ αὐτῶν τὸ φῶς προχεῖται. ἢ ὅτι φωτὸς εἰσὶ δεκτικοί.

φαμίλιος· ἡ γυνή· καὶ φαμιλία. ἄλλοι δὲ τὴν δούλην. φαμιλίων οἰκετικῶν ἀνδραπόδων.

φαινόλην· παρὰ τὸ φαίνεσθαι ὅλον. ἀπὸ τοῦ φαίνω. εἵματος. ἔσπηκε ἀπὸ τοῦ φῶ· ἐξ οὗ καὶ παρ' ὁμήρῳ φαιφάσουσα.

Φακός· ὁ ὠμός· φακή· ἡ ἑψηθεῖσα.

Φαιδρός· παρὰ τὸ φαίνω· φανερός
καὶ κατὰ συγκοπὴν τοῦ ε· καὶ τροπῇ
τοῦ ν εἰς δ· φαιδρός· ἢ παρὰ τὸ φάος.

Φαινώλης· εἱλητὸν τομάριον· μεμ-
βράνον· ἢ γλωσσόκομον· ἢ χιτώνιον·
φαινόλην· ὡς καὶ τὸν φαινόλην ἀπο-
δύσασθαι· τουτέστι τὸ ἱμάτιον.
παρὰ τὸ φαίνεσθαι ὅλον· ἀπὸ
τοῦ φαίνω ῥήματος· ὅπερ ἐστὶν ἀπὸ
τοῦ φῶ. ἐξ οὗ καὶ τὸ παρ' Ὁμήρῳ·
παιφάσσουσα.

Φαεινός· διὰ τῆς ει· τῷ λόγῳ· ἐπει-
δὴ οἱ Αἰολεῖς φαεννός.

Φάρυγξ· παρὰ τὸ ἐσθίειν καὶ ἀπο-
λαύειν· ὥσπερ καὶ λάρυγξ· διὰ τοῦ
λαλεῖν.

Φαινόλης ὁ ἄγαν ἀπατηλός· τῶν
εἰς ης ὀξυτόνων παρωνύμων· τῷ
εἰρημένῳ ἐν τῷ αἰπεινός· λέγεται.
ἀποβάλλεται τὸ ι καὶ διπλασιά-
ζεται τὸ σύμφωνον.

Φαιὸν χρῶμα σύνθετον ἐκ μέλανος

καὶ λευκοῦ. ἤγουν κυΐνου.

Φαλός. ἐκ τοῦ φῶ. τὸ φαίνω. ὁ μέλλων φώσω. φαλὸν τὸ λαμπρόν. ἐξ οὗ καὶ παμφάλαρον. ἐξ οὗ καὶ τὸ φαλακρός. ὁ τὴν κάραν φαλακρὰν ἔχων. …… τὴν λαμπράνϊν

Φαείνω. λάμπω. μέλλοντα οὐκ ἔχει. ἀλλ' ἄχει τοῦ παρατατικοῦ κλίνεται.

Φαίδιμος. ὁ λαμπρός.

Φακή. φωκακή τις οὖσα. ἢ τὰ φῶτα βλάπτουσα. τουτέστι τοὺς ὀφθαλμούς. ἢ παρὰ τὸ αἰκίζειν τὰ φῶτα. ὡς καὶ ὁ ἰατρικὸς λόγος μαρτυρεῖ. φωκακή τις οὖσα. ἢ τὰ φάκκακοῦσα.

Φακιόλιον. σιμικίνθιον.

Φακίης παρὰ ἰταλοῖς ἡ ὄψις λέγεται. ἐκεῖθεν φακιόλιον. τὸ ἐν τῇ ὄψει.

Φάλαγγες. αἱ μὲν τῶν νηῶν. παρὰ τὸ σπᾶν εἰς τὴν ἅλα. αἱ δὲ τάξεις. παρὰ τὸ πελάσαι ἄγχι.

Φάλιος· Φαλακρός· ὁ τὸ ἄκρον ἔχων φαλὸν ὅ ἐστι λαμπρόν· παρὰ τὸ φῶς.

Φαλκίδιον· πέταλον· Φαλκίδιον τὸ κόπτον ἀπὸ μεταφορᾶς τοῦ μορίου καὶ ἔνθεον.

Φάλλος· ὁ φορῶν τὸν φάλλον· ἤγουν τὸ δερμάτιον.

Φαντασία· φαντασία τις οὖσα· τῶν ἀθηνῶν στάσις.

Φάρος· κατ' Ἀθηναίους ἱμάτιον· οἱονεὶ φέρος· τὸ φερόμενον ἱμάτιον.

Φάρος παρ' ὅτι φῶς ἐστὶν θεωρούμενον.

Φάρος περιβόλαιον ἄρμενον· εἴρηται δὲ παρὰ τὸ φέρεσθαι· ἢ ποιῶ φῶς ἀρμενεῦναι.

Φάλαγξ· τάξις στρατιωτική· ἐπειδὴ τὸ παλαιὸν ξύλοις ἐμάχοντο.

Φάλαγγας μὲν γὰρ τὰ ξύλα ἐκάλουν οἱ ἀρχαῖοι· ἔτι γοῦν καὶ ἡμεῖς τὰ τῶν ξύλων οἰκοδομήματα· φάλαγγας καλοῦμεν.

Φάλαγξ καὶ οὐλαμὸς διαφέρει. —

φάλαγξ μὲν γάρ ἐστι τάξις συνεστηκυῖα
ἐξ ἑκατὸν εἴκοσι ἀνδρῶν. ὁ δὲ
οὐλαμὸς ἐξ ἀνδρῶν τεσσαράκοντα.

Φάραγξ· παρὰ τὸ χαράσσω· χάραγξ.
καὶ τροπῇ τοῦ χ· εἰς φ· καὶ πλεο-
νασμῷ τοῦ γ φάραγξ. σημαίνει δὲ
τὴν ἐξ ὑδάτων τοῖς ὄρεσιν. ἢ τῇ
γῇ προσγινομένην κοιλότητα.

Φάρμακα· ἰάματα ἐπιφέροντα
τὸ ἄκος· ἤγουν τὴν ἴασιν. ἢ τὰ
φέροντα ἄκεσιν.

Φαρμακεία· ἐκ τοῦ φαρμακεύω.
τοῦτο ἐκ τοῦ φάρμακον· τοῦτο ἐκ
τοῦ φέρειν ἄκος· τουτέστιν ἴαμα.

Φαρμακεία· καὶ δηλητήριον διαφέ-
ρει· ὅτι τὸ μὲν δηλητήριον λαμ-
βάνεται ἐπὶ θανασίμου· τὸ δὲ
φάρμακον ἐπὶ ζωῆς.

Φαρμακεία· γοητείας διαφέρει· φαρ-
μακεία ἐστὶ κυρίως ἡ βλάβη. ἡ
ἀπὸ λησίου τινὸς γινομένη· γοη-
τεία δὲ ἡ ἐπικλήσεως καὶ ἐπαοι-
δίας καὶ ἐπῳδῆς γινομένη φαρμα-
κία.

Φάρος· εἰ μὲν ἐστιν ἀρσενικόν.

σημαίνει τόν τόπον. εἰ δέ θηλυκόν σημαίνει τήν πόλιν. εἰ δέ οὐδέτερον. σημαίνει τό ἱμάτιον. ἔστι δέ ὁμώνυμον.

Φάσαν. ἔφασαν. καί εἶπαν.

ὣς φάσαν ἡ πληθύς—

διατί τῷ πληθυντικῷ ἀριθμῷ ἑνικῇ φωνῇ συνέταξεν ὁ ποιητής. τά ἑνικά ὀνόματα, ἑνικοῖς συντάσσονται ῥήμασι. καί τά πληθυντικά ὀνόματα πληθυντικοῖς. τά δέ περιληπτικά ὀνόματα δύο συντάξεις ἀναδέχονται. τῷ λόγῳ τῆς φωνῆς. καί τῷ λόγῳ τοῦ σημαινομένου. πληθυντικῷ δέ ἀριθμῷ συνέταξαν. εἰ δέ τῇ φωνῇ ἑνικῇ τό πληθύς. κατά τόν τοῦ σημαινομένου χαρακτῆρα.

Φαλαρῖτις. ἡ Ἀθηνᾶ. ἡ ἀπό τῆς κεφαλῆς τῶν φαλάρων ἤ ἀπό Φαλάρου κώμητος. τιμῶσης τόν δαίμονα. οἱ δέ ἀπό τῶν ἐπάλξεων. ἃς ἐκάλουν φάλαρα. ἐμπαθῶς.

Φάσγανον· ἄορ· ξίφος· παρὰ τὸ
σφάζω· σφάξω· σφάγανον· καὶ φάσ-
γανον· ἢ παρὰ τὸ σφάξαι· ὅ ἐστι
φονεῦσαι· ἄρεται δὲ ἀπὸ τῶν ἀν-
θῶν· καὶ τὰ βαφεῖα φαρμακῶνας
ἐκάλουν.

Φειδωλός· διὰ τῆς ει διφθόγγου.
παρὰ τὸ φείδω· ἢ φειδῶ· φειδήσω.
φειδηλος καὶ φειδωλός· καὶ ἁμαρτῶ
ἁμαρτήσω· ἁμαρτωλός.

Φείδομαι· τὸ ἐλεῶ· ἐξ οὗ καὶ
ἀφειδῶ· καὶ ἐφεισάμην· καὶ ἀφει-
δῆσαι.

Φειδωλός· τις ὤν· ὁ τηρῶν τὴν
δόσιν· καὶ τὸ δοῦναι· οὕτως Ἡρω-
διανός.

Φείδεσθαι· ἀπὸ Φείδωνος ἑνὸς τῶν
Ἡρακλειδῶν· μηνύσαντος τὰ μέτρα.
καὶ διὰ μικροῦ ἀργυρείου ἐναλλα-
γὰς τίθεσθαι.

Φάσκαλος· φασκωλίου διαφέρει.
φάσκαλον μὲν ἐστιν· ἱμάτιον· φορεῖς.
φασκώλιον δὲ τὸ δέρμα.

Φᾶσθαι· λέγειν· εἰπεῖν μέσος ἀό-
ριστος πρῶτος ἀπαρέμφατος τῶν

εἰς κτ· γέγονεν ἐκ τοῦ φῶ τὸ
φαίνω· παράγωγον φημί· ὁ μέλ-
λων φήσω· ὁ ἀόριστος ἐφάσθην·
ὁ μέσος ἐφάμην· ἔφασο· ἔφατο· καὶ
τὸ ἀπαρέμφατον· φάσθαι.

Φασκώλιον· καὶ προστεμμένου κατὰ
τὸ πλέον· καὶ ἔμβει λέσατον ποιῶ.
ἢ τὸ φασκώλιον· τουτέστι δερμά-
τιον βαλάντιον.

Φασκώλιον δὲ τὸ μέγα· εἰς ὃ τὰ
ἱμάτια ἐμβάλλεται· φάσκωλον
ὡς οἱονεὶ ἀσκώλιον· τὸ ἀσκῶ τοι-
κός.

Φασουλίς· ὄσπρεα· φῶς ὅλον· ἢ
παρὰ τὸ φυσῶ· φυσωλίς τις οὖ-
σα.

Φακλήν· διὰ τὸ φαίνειν καλά.

Φατλ^λ· διὰ τὸ φαίνειν τηλόθεν.

Φάτνη· παρὰ τὸ φαγεῖν φάγνη
τις οὖσα· καὶ τροπῇ τοῦ γ̄· εἰς
τ̄· φάτνη. ἢ παρὰ τὸ πῶ τὸ
ἐσθίω· ἐξ οὗ τὸ πάσασθαι παρά-
κειται· ἐπὶ τοῦ ἐσθίειν καὶ τρο-
πῇ τοῦ π̄· εἰς φ̄· φάτνη.

Φατρία· ἐκ τοῦ φρατός· ὁ —

σημαίνει τὸν συγγενῆ. λοιπὸν ἐξ
αὐτοῦ φράτερος. φρατερία. καὶ
κατὰ συγκοπὴν καὶ ἀποβολὴ τοῦ
ε̄. φατρία. λέγεται δὲ ἡ συγγένεια.
Φαῦλος. παρὰ τὸ φάω τὸ λάμπω.
φαύσω. φαῦλος. ὁ φανερούμενος
εἰς ἃ ἐργάζεται. ἢ παρὰ τὸ παύω.
παῦλος. καὶ φαῦλος. τὸ γὰρ κακὸν
ταχὺ παύεται. τὸ δὲ καλὸν οὐδέ-
ποτε παύεται.

τὸ φ̄. μετὰ τοῦ ε̄.

Φερουσάειος. ἀπὸ Φερούσας τινὸς
θεᾶς ὀνομασθῆναι.
Φείδω. εἰς τὸ ἀπείλησε. Φειδίας.
Φεῖκαι διὰ τῆς ει διφθόγγου.
παρὰ γὰρ τὸ φεύγειν καὶ τὸ δεῖσαι
γέγονε φεύγομαι. καὶ τροπῇ τοῦ
υ εἰς τὸ ι. φείδομαι.
Φέγγος. παρὰ τὸ φωτὸς εἶναι
γέννημα. καὶ μήνυμα.
Φενακίζω. ἐκ τοῦ φρὴν φρενός.
φρενακίζω. καὶ ἐκβολῇ τοῦ ρ̄ φε-
νακίζω.
Φενακισθέντες ἀντὶ τοῦ ἀπατηθέντες.

γίνεται παρὰ τὸ φενακίς. ἔστι
δὲ κόσμος γυναικεῖος. ἢ λεγομέ-
νη οὐρά.

Φενακισθείη. χλευασθείη. ἀπατη-
θείη. ἀπὸ τοῦ φενακίζω. τοῦτο
παρὰ τὸ φένας αἰκίζειν. συντάσ-
σεται κατὰ πτώσεως γενικῆς.

Φενώλης. λοιπός. ὄνομα δὲ τὸ φε-
λώνη. τὸ - - οἱονεὶ σκέ-
πασμα. ἀπὸ τοῦ τέγειν. κατ'
ἀντίστοιχον οὕτω γὰρ Ῥωμαῖοι
τὸ σκέπειν καλοῦσι.

Φένω. τὸ φε. ψιλόν. ἀπὸ τοῦ
φῶ. τὸ φονεύω. καὶ ἀποβολῇ
τοῦ φ. ἔνω. καὶ κατὰ παραγω-
γὴν ὄνομα ῥηματικὸν ἔνδω. καὶ
ἐνυάλιος. ἐκ τοῦ ὅω ἕνω γίνεται
ἕτερον ὄνομα ἕντης. καὶ μετὰ τοῦ
αὐτός αὐτοέντης. καὶ κατὰ συγκο-
πὴν αὐτέντης. καὶ ὁ τόνος τοῦ
ε δασυνθεὶς. γίνεται αὐθέντης. ὁ
ἑαυτὸν ἀναιρῶν. φένω ὅω. ὁ δεύτε-
ρος ἀόριστος ἔφενον. καὶ μετὰ τῆς

ἐπὶ προσθέσεως. καὶ κατὰ συγκοπὴν
ἔπεφνον. καὶ ἡ μετοχὴ πέφνων.
καὶ σεσημείωται βαρυνόμενον.

Φερέοικος. ὁ κοχλίας. καὶ ἡ χελώ-
νη. ὅτι φέρουσι τὸν οἶκον. ἀφέ-
ρεοι δὲ ὅτι οὐ φέρουσι τὸν οἶκον.

Φερέγγυος. ἀξιόπιστος ἐγγυητής.
φέρων τὸ βέβαιον.

Φέρουλλα. ἡ κρούουσα. ἐκ τοῦ φε-
ρίζαι.

Φερέζοον. παρὰ τὸ φέρω. καὶ τὸ
ζωή. γίνεται φερέζωος. ὁ τὴν ζωὴν
φέρων.

Φερνή. τὰ φερόμενα ὑπὸ τοῦ ἀνδρὸς
τῇ γυναικί.

Φερνή. προῖξ. δωρεά. φέρνη τις οὖσα.
ἀπὸ τοῦ ἐπιφέρεσθαι. οὕτως ἡρακλεί-
δης.

Φερσεφόνη. οἱ μὲν ὅτι φόρβην καὶ
ὄνησιν ἡμῖν παρέχει. οἱ δὲ ὅτι
Φόρβον ἐφόνευσε τὸν γίγαντα. ἢ ὅτι
πρὸς αὐτὸν τοὺς πεφονευμένους ἄγει.

Φέρτερος. ἀπὸ τοῦ φέρω. φέρτερος
γίνεται τὸ συγκριτικὸν ἐξ ὀνόματος.

ὡς ὀξὺς ὀξύτερος. ἀπὸ ῥήματος. ὡς φέ-
ρω φέρτερος. ἀπὸ προθέσεως. ὡς
προ· πρότερος. ἀπὸ ἐπιρρήματος.
ὡς πάλαι παλαιότερος.

Φέρω τοῦ ἄγω διαφέρει. τὸ γὰρ φέ-
ρω ἐπὶ ἀψύχων τάττεται. τὸ δὲ ἄγω
ἐπὶ ἐμψύχων. φέρω τὸ βιβλίον. ἄγω
τὸν ἄνθρωπον.

Φερσεφόνη. ἡ γῆ. ἡ φέρουσα ἅπαντα.
ἢ ὅτι πρὸς ἑαυτὴν τοὺς πεφονευμένους
ἄγει.

Φερώνυμος. ὁ ἀληθὲς ἔχων φέρων τὸ
ὄνομα. φερώνυμον ἀληθινὸν τὸ ὄνο-
μα.

τὸ Φ. μετὰ τοῦ Η.

Φήμι. παρὰ τὸ φήσω. μέλλοντα. ὡς
ἔπε τὸ γνώσω. μέλλ.

Φήληκα. τὰ σῦκα.

Φηλήτης. λέγεται οἱονεὶ φαυλίτης.
παρὰ τὸ φαύλως καὶ ὠχρὸς εἶναι
καὶ ἀναχωρεῖν.

Φηλήτης. ὁ λῃστὴς καὶ κλέπτης. παρὰ
τὸ ὑφελέσθαι τι.

Φήμη. ὥσπερ παρά τό νοῶ. νοήσω. νο:
:ήμη. νώμη. καί γνώμη. καί κινήσω κινή:
:μη. καί κίμη. οὕτω καί φήσω. φήμη.
παρά τό φῶ. τοῦτο παρά τό φῶς.
φῶς γάρ τῶν πραγμάτων ὁ λόγος. τό δέ
φῶς παρά τό φάος. τό φάος παρά τό
φαίνω τό λάμπω.

Φήμη. ὥσπερ παρά τό νόω. νοήσω. γί:
:νεται νοήμη. καί κατά κρᾶσιν τοῦ ο.
καί η. εἰς ω μέγα. νώμη. καί γνώμη.
πλεονασμῷ τοῦ γ.

Φηγὼ δένδρον. εἴρηται δέ παρά τό φώ:
:γεσθαι ὅ ἐστι καίεσθαι. τά γάρ ἔσω τῶν
βαλάνων ἐσθίοντες. τά ἔξω ἔκαιον πρός
θέρμην. ὕλην καί βαλανεῖα. καί οἱ ἑταῖροι
ἐκ τοῦ ἕλκειν αὐτά ἐχρῶντο. ἔστι δέ ἰσχυ:
:ρόν καί πολυχρόνιον.

### τό φ. μετά τοῦ θ.

Φθινόπωρον. ὁ σεπτέμβριος καί ὀκτώ:
:βριος. καί νοέμβριος. παρά τό φθίνειν
τουτέστι παύειν ἐν αὐτῷ τήν ὀπώραν.
Φιάλη. ὥσπερ ἄρη τις οὖσα. φιαρόν
γάρ τό θερμόν

Φθινώδης· ὄνομα κύριον σημαίνει διὰ τοῦ ι γραφόμενον· γέγονε δὲ υἱὸς Ἐνδυμίωνος.

Φημί· λέγω· διατί οὐκ ἀναδιπλασιάζεται· ἐπειδὴ ἐγκλιτικόν ἐστι· καὶ τὰ ἐγκλιτικὰ ἢ μονοσύλλαβα θέλουσιν εἶναι ἢ δισύλλαβα· τούτου χάριν οὐκ ἀναδιπλασιάζεται· σημαίνει δύο· τὸ λέγω· καὶ τὸ φονεύω· φῶ γάρ ἐστι ῥῆμα· καὶ σημαίνει τὸ λέγω· ἐξ αὐτοῦ παράγωγον ῥῆμα φημί· δευτέρας συζυγίας τῶν εἰς μι· ὁ παρακείμενος πέφηκα· ὁ παθητικὸς πέφαμαι· πέφαται· πέφαται τὸ τρίτον· ἐξ οὗ πέφαται ἀνὴρ ἄριστος· ἐξ οὗ ὄνομα φατόν· ὁρᾶται φῶτα ἀρηΐφατα· κατέδουσιν.

Φήνη· ἐστὶ δὲ πετεινὸν ἀετῶ.

Φηρσί· ἀντὶ τοῦ θηρσί· κατὰ μετάθεσιν τοῦ θ εἰς τὸ φ· φλᾶν· θλᾶν· κυρίως δὲ φῆρες λέγονται οἱ σύαγροι καὶ οἱ τούτους λαμβάνοντες θηραταί.

φλέγω. ἔστι φῶ. τὸ λάμπω· ἐξ αὐτοῦ
γίνεται φλέγω· καὶ φλέγος· καὶ
φλέγομαι· ἐξ οὗ καὶ φθόγγος.
φθινόπωρον· ὅταν φθίνῃ ἡ ὀπόρα.
φθίμενον· τεθνηκός· καὶ ἀποφθίμε-
νον· τὸ ῥῆμα φθίνω· ἐκ τούτου φθῶ.
ὁ μέλλων φθύσω· ὁ παρακείμενος
ἔφθηκα ὁ παθητικὸς ἔφθημαι· ὁ
πρῶτος ἀόριστος ἐφθήθην· τὸ πλη-
θυντικὸν ἐφθήθημεν· τὸ τρίτον
ἐφθήθησαν· καὶ βοιωτικῶς ἔφθιθεν·
καὶ — ἀπέφθιθεν ἄλλοι ἑταῖροι.
φθόνος· παρὰ τὸ φθείρω· καὶ φθίνω.
ἢ παρὰ τὸ φόνος ἐκβολῇ τοῦ ε̄.
φθορά· ἐκ τοῦ φθείρεσθαι ῥᾶον· ἤγουν
σήπεσθαι εὐχερῶς· φθίσις γάρ ἐστιν
ἡ σῆψις. ἔστι φθιοίνω:

τὸ φ̄ · μετὰ τοῦ ῑ.

φιάλη· μέγα ποτήριον· παρὰ τὸ
πίνω καὶ τὸ ἅλις· ὃ σημαίνει τὸ
δαψιλῶς. ἢ τὸ πιεῖν ἅλις παρέχου-
σα· πῶς δεῖ ἀναγινώσκειν· φιάλη

ἡ φιαλή· φιάλη· διατί· τὰ διὰ τοῦ
αλα θηλυκὰ ὀνόματα· ὑπερβαίνον-
-τα τὴν δισυλλαβίαν· καὶ ἀσωάλακ-
-τα ὄντα· βαρύνονται· οἷον μασχάλη,
αἰθάλη· οὕτως οὖν καὶ φιάλη· σεση-
-μείωται τὸ κεφαλὴ ὀξυνόμενον.

φθείρ· ὁ ἀπὸ τῆς φθορᾶς τοῦ
σώματος γινόμενος· παρὰ τὸ φθεί-
-ρεσθαι.

φιλέεσκεν· ἐκ τοῦ φιλῶ· φιλήσω·
καὶ οἱ Δωριεῖς τρέπουσι τὸ η εἰς
δύο εε· καὶ γίνεται φιλέεσω· καὶ
πλεονασμῷ τοῦ κ· φιλέεσκω· καὶ
ὁ παρατατικὸς φιλέεσκες· καὶ τὸ
τρίτον συνάρχεται ἐφιλέεσκεν· ἐφι-
-λέεσκοντο.

φίλημα· τὸ φιλοῦν· καὶ τὸ φιλούμε-
-νον αἷμα.

φιλήτας· τοὺς ἀφαιρεῖν τι καὶ
ἐκφέρειν ἐθέλοντας· παρὰ τὸ ἀφε-
-λεῖν τι:

φιλήτης ὁ σημαίνει τὸ κλέπτειν

ἢ λῃστήν· διὰ τοῦ π γράφεται. εἰσί
γάρ τινα ὀνόματα. συμπάσχοντα τὸ
σημαινόμενον. οἷον ἡμισυκόκκιον.
ἡμικόκκιον. ὁ φηλήτης τις ἐστί. καὶ
ἀποβολῇ τοῦ π καὶ ε. τῆς διφθόγ-
γου. φιλήτης. καὶ τροπῇ τοῦ ε. εἰς
η. φιλήτης. ἐπειδὴ γὰρ ἔνδειαν σημαί-
νει ὁ κλέπτης. τοῦτο χάριν καὶ
φωνηέντων ἔνδειαν ἀνεδέξατο. κα-
κῶς δὲ Ἀρτεμίδωρος καὶ Ἀλεξίων.
ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥᾳδίως.
ἀφίστασθαι. τοῖς γάρ τι παραπλήσιον.
ἄμεινον γὰρ ὀφειλητὴν αὐτὸν εἶναι.
διὰ τὸ ῥῆμα ὀνοματικόν.

Φιλοκτεανώτατε. παρὰ τὸ φίλος
καὶ τὸ κτέανον. ὃ δηλοῖ τὸ κτῆμα.
τὸ δὲ κτέανον παρὰ τὸ κτῶ κτάνον
ὡς τύπτω τύπανον. καὶ πλεονασμῷ
τοῦ ε. κτέανον. ἐκ δὲ τοῦ κτῶ. κτέαρ.
κτέατος καὶ κτέανον. καὶ κτεατίζω
ῥῆμα. δηλοῖ δὲ τὸ κτῆμα.

Φιλοκτεανώτατος. ὁ φιλοκτήμων
καὶ φιλοκτέατος. ὁ φιλοχρήματος. ἢ

ὁ φιλῶν πάντα.

Φιλάνθρωπος· ἐξ ἀπολύτου τοῦ φίλα καὶ τελείου τοῦ ἄνθρωπος· ἐκ τοῦ φιλοῦντα φιλοκαλίαν κατασκευάζειν.

Φιλομμειδής· ἡ βουλομένη καὶ θέλουσα ἡ μήδουσα τοῦ φιλεῖν· ἢ παρὰ τὸ μήδεα τὰ βουλεύματα· ὡς Ἡσίοδος. ἢ γὰρ παρὰ τὸ μήδειν τὸ βασιλεύειν, καὶ τὸ φιλεῖν γέγονε φιλομμειδής. παρὰ τὸ μειδιῶ· ὃ σημαίνει τὸ γελῶ· φιλομμειδής γὰρ ἡ φιλόγελως.

Φιτ· ὅτι φαιὸν τὸ μέλαν· μελάνδετος ἐστὶ τὸ σκοτεινόν· οὕτω καὶ τοῦτο παρὰ τὴν ἐκφώνησιν· κακόφωνον γάρ ἐστι.

Φίλτρον παρὰ τὸ φιλῶ βαρύτονον. φίλτρον καὶ ἀπὸ τοῦ φιλῶ περισπωμένου· φιλήτρον καὶ φίλτρον κατὰ συγκοπήν

Φιλοπονίαι· σπουδαίαν ἐργασίαν. παρὰ τὸ φιλεῖν καὶ πονεῖν· ὅ ἐστιν ἐργάζεσθαι.

Φιλοπότης· ὁ φιλῶν τὰ συμπόσια. φιλοπώτης δὲ ὁ ἀγαπῶν πίνειν

φίτρον· κορμόν· φίτροι τινὲς ὄντες·
ἀπὸ τοῦ φύεσθαι.

Φιλεῖν καὶ κυνεῖν διαφέρει· φιλεῖν μὲν τὸ ἀγαπᾶν· κυνεῖν δὲ τοῖς χείλε:σιν ἀσπάζειν.

Φίλος τὸ ἀνήρ· τὸ ἀνεψιός· καὶ ἀσ:κληπιός· καὶ ἀπόλλων καὶ ἄρης· καὶ αὐτὸ παρὰ τοῖς ποιηταῖς· καὶ ἐκτείνεται· καὶ συστέλλεται· εἴρηται δὲ παρὰ τὸ πίνω· ἀπὸ γὰρ συμ:ποσίων εἰώθασιν οἱ φίλοι γίνεσθαι.

Φιλοσοφία· ἐξ ἀπολείποντος καὶ τε:λείου ὡς φιλόσοφος· καὶ ὡς φιλόδη:μος· ἀπέλειψε γὰρ τὸ σ̄· τοῦ φίλος.

Φιλόσοφος· διὰ τὸ φιλεῖν τὴν φιλο:σοφίαν.

Φιλοτησία· ἐκ τοῦ φίλος καὶ τοῦ τῶ τὸ λαμβάνω.

τὸ φ̄· μετὰ τοῦ λ̄

Φλέβες· ἀπὸ τοῦ τὸν φλεγμωδέστατον χυμῶνα περιέχειν· τουτέστι τοῦ αἵματος· φλέβες οὖν παρὰ τὸ δι᾽ αὐ:τῶν βαίνειν τὸ φλογῶδες.

Φονεύς· παρὰ τὸ φόνος.

φλᾶν· θλᾶν· ἀντιστοιχεῖ τὸ θ. τοῦ
φ. εἰδὲ δωρικῶς· φλᾶν ἀντὶ τοῦ
καίειν.

φινεύς· παρὰ τὸ ἶφι καὶ τὸ νοῦ γέγο-
-νεν· διονεὶ ἰσχυρὸν ἔχων τὸν νοῦν.

φίσκος· δημόσιον ταμεῖον· πολὺ χρῆμα.

φλάμμουλον· ἀπὸ τοῦ φλογίνου χρώμα-
-τος ὠνομάσθη.

φλεβότομον· ὅτι τὴν φλέβα τέμ-
-νει.

φλαμουλάριοι· ἐκ τοῦ ἐπὶ τὰς ἄ-
-κρας τοῦ δόρατος. φοῖνα ἔχειν.

φλέγω παρὰ τὸ φλέω· τοῦτο ἐκ
τοῦ φλῶ· τὸ ἀναδίδωμι.

φλήναφος· ὥσπερ φληνάφου τοῦ
πράγματος· λούρου· ληροδόρου λέγε-
-ται.

φληναφεῖν· τὸ φλυαρεῖν. καὶ φλή-
-ναφος ὁ φλύαρος· ἀπὸ τοῦ φλέω. ἐῤ-
-ῥήματος· ὥσπερ καὶ τὸ φλύω εἴρηται·
ὡς ἐρέω· ἐρύω· ξέω· ξύω· καὶ ὅμη-
-ρος

——— ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.

παρὰ δὲ τὸ φλέω· ὅπερ ταὐτὸν

ἐστι τὸ φλύω· γίνεται ὄνομα φλυός.
ὡς· δέω· δεινός. τέρπω· τερπνός.
φλιά· διὰ τοῦ ι γράφεται· παρὰ
τὸ θλίβω· ὅπερ δέδεικται· διὰ τοῦ
ι· γέγονε θλία· καὶ κατὰ τροπὴν
τοῦ θ· εἰς φ· φλιά· ὡς θῆρες. φῆρες.
φλιὰ δέ ἐστι τὸ πλάγιον τῆς θύρας.
ἐν ᾧ ἵσταταί τις.
φλοῖσβοι· αἱ διὰ τοῦ οιο. δοτικαὶ
καὶ γενικαί· διὰ τοῦ οιος προφέ-
ρουσι τὰ ἔχοντα τὸ ο.
φλῆνος· ὅθεν καὶ τὸ φληναφῶ. ἔστι
ῥῆμα δηλοῦν τὸ λέγω· οὐ ὁ μέλλων
φλύσω· καὶ κατὰ πλεονασμὸν τοῦ
λ· φλῆνος.
φλοιδούμενος· ἐκ τοῦ φλοῖσβος.
τοῦ σημαίνοντος τὸ κοχλάζω· ὅ ἐστι
τοῦ πυρός. ἀντὶ τοῦ φλογιζόμενος.
φλοιός· τὸ λέπος·
φλοιός· παρὰ τὸ φλοῦς φλιός· καὶ
φλοισβος· ἢ παρὰ τὸ φλῶ τὸ ἀναδί-
δωμι· καὶ ἀναπέμπω· φλῶ· φλέω.
φλόος· καὶ φλοιός· ἢ ἐκ τοῦ φλῶ

κατὰ παραγωγὴν φλάζω· καὶ παφλά-
ζω. κατὰ τροπὴν τοῦ ε̄. εἰς ῡ φλυδυ.
ἐξ οὗ καὶ φλύαρος· ὁ ἀναπέμπων
τοὺς λόγους. ἐκ δὲ τοῦ φλέω· καὶ
φλενός· καὶ φληνός· καὶ μετὰ τοῦ φῶ
ῥήματος· τοῦ δηλοῦντος τὸ λέγω·
γίνεται φληναφῶ· καὶ φλήναφος· ὁ
ὕθλος.

Φλοῖσβος· ὁ ἀφρὸς καὶ ὁ τάραχος.
παρὰ τὸ φλέω· τὸ ἀναβράζω· φλό-
μενος καὶ φλοῖβος· καὶ πλεονασ-
μῷ τοῦ σ̄· φλοῖσβος.

Φλοιαί· αἱ παραστάδες τῆς θύρας.
διὰ τὸ στενὸν τῆς εἰσόδου· παρὰ τὸ
θλῖψαι. θλιὰ οὖν καὶ φλιά.

Φορβέστατος· ἀθηναῖος παρὰ τὸ φυ-
γεῖν τοῖς πολεμίοις ἐμποιεῖν.

Φλέγμα· παρὰ τὸ φλέγω. φλέξω.
φλέγμα κατ᾽ ἀντίφρασιν. ψυχρό-
τατον γάρ ἐστι καὶ πικρότατον.
φλέγμα λέγεται· οἷον χολή. ἥδε
γὰρ ἀποκριθεῖσα πήγνυται.

Φλὸξ παρὰ τὸ φλέγω. φλέξω. φλόξ.

τό φλο μικρόν· τά ἔχοντα τό ε. ἤ καί τά εἰς ωξ· ἅπαντα διά τοῦ ω μεγάλου γράφονται· πλήν τοῦ φλόξ· διατί ὀξύνεται. τά ἀπό μελλόντων δισυλλάβων κατ' ἀποβολήν τοῦ σ γινόμενα ὀνόματα ὀξύνονται.

τό φ. μετά τοῦ ο

φόβος· ποίου εἴδους τῶν ὑποπίπτόντων τῷ ὀνόματι· γενικοῦ· γενικόν δέ ἐστι τό δυνάμενον εἰς πολλά εἴδη διαιρεθῆναι· οἷον βοῦς· ἵππος· καί εἰς πόσα διαιρεῖται ὁ φόβος· εἰς ἕξ· εἰς ὄκνον· εἰς ἔκπληξιν· εἰς αἰδῶ· εἰς αἰσχύνην· εἰς ἀγωνίαν· καί ὄκνος μέν ἐστι· φόβος μελλούσης ἐνεργείας· γινόμενος· μέλλων γάρ τις τί ποιεῖν φόβου ἄξιον. ὀκνεῖ. ἔκπληξις δέ ἐστι· φόβος ἐξ ἀσυνήθους φαντασίας γινόμενος· κατάπληξις δέ φόβος ἐκ μεγάλης φαντασίας γινόμενος· αἰδώς δέ ἐστι φόβος ἐπί

προσδοκία ψόγου. προσδοκῶν γάρ τις πρᾶξαι τι εἰς ψόγον καταλή:γον. αἰδεῖται. αἰσχύνη δὲ φόβος ἐπὶ αἰσχρῷ πράγματι πεπραγμένῳ. ἀγωνία δὲ. φόβος διαπτώσεως. του:τέστιν ἀποτυχίας. φοβούμενοι γὰρ ἀποτυχεῖν. ἀγωνιῶμεν. καλοῦσι δὲ αὐτὴν καὶ δειλίαν.

Φοῖβος. ὁ ἀπόλλων. ὁ μαντευτικός ἢ καθαρός. φοῖβον γὰρ τὸ καθαρόν. Ἡσίοδος. δὲ φοῖβον αὐτὸν καλεῖ-

[illegible] . . ἀπὸ φοίβης.

Φοῖνιξ. φοίνικος. τοῦτο παρὰ τὸ φοινόν. τοῦτο παρὰ τὸ φόνος. φόνιοι γὰρ οἱ φοίνικες. καὶ λῃστρικοὶ τὸν τρόπον. δύναται γὰρ καὶ ἐπὶ τῶν δέν:δρων λαμβάνεσθαι.

Φόλλις. ὁ καὶ βαλάντιον καλεῖται. ἔχει ἀργυροῦς δώδεκα. δηνάρια δια:κόσια πεντήκοντα. λίτρας δώδεκα. φόλλεις κατὰ τὸν δηναρισμόν. ἀλλ' οὐ κατ' ἀργυρισμόν. φόλλις καὶ φόλ:λις ὁ ὀβολός. ἐξ οὗ καὶ φόλλεις δώ:δεκα.

Φολκός· ὁ στραβός· παρὰ τὸ τὰ φάη ἑλκυσμένα ἕλκειν· ἑλκυσμένον δὲ τὸ στραβὸν λέγεται.

Φοῖβος· καθαρός· ἢ ἀμίαντος· ἢ λαμπρὰ θρίξ· ἤγουν τρίχες· ἢ ὁ ἀπόλλων.

Φοῖβαι κυρίως αἱ καθαραὶ καὶ λαμπραὶ τρίχες· παρὰ τὸ φοῖβος ὅ ἐστι καθαρός.

Φοῖβος· καθαρός· καὶ ἀμίαντος ἀπόλλων· φοῖβος παρὰ τὸ φάος· ὃ δηλοῖ τὴν λαμπρότητα· φαόβιος φοίβιος· καὶ κατὰ συγκοπὴν φοῖβος· ὁ λαμπρότοξος.

Φοῖβος ὁ ἀπόλλων οἱονεὶ φαόβιος· τουτέστιν ὁ λαμπρὸν βίον ἔχων· ἤγουν τόξον· ὅθεν καὶ φοιβάζω· τὸ λαμπρύνω· ἢ ἀπὸ φοίβης. - - -

- - ὥς ἔφη ἡσίοδος.

Φοῖνιξ· παρὰ τὸ φύω· τὸ ἀναβλαστάνω· λέγουσι γὰρ αὐτὸν διὰ τρίων ἡμέρων γεννᾶσθαι· ἢ παρὰ τὸ φοίνιον· ὃ σημαίνει τὸ ποικίλον· ὡραιότατον γὰρ τὸ ζῶον καὶ φοίνικα.

Φοίνικος. ἀπὸ ἔθνους ἐπισήμονος.
ὀνομάσαι συμβὰν πλέοντες.
Φοινίκη. ἡ χώρα ὀνομάζεται ἀπὸ
Φοίνικος βασιλεύσαντος. ἐν αὐτῇ δὲ
φοινικοῦν τὸ μέλαν γίνεται. παρὰ τὸ
φοινίσσω. τὸ βλάπτω. τοῦτο παρὰ τὸ
φοινόν. ἐξ οὗ καὶ μετὰ τοῦ ἐπιτατικοῦ
δα. δαφοινόν. τὸ μέγαν. πάνυ. τοῦτο
παρὰ τὸ φόνος καὶ πλεονασμῷ τοῦ ι.
καὶ καταβιβάσει τοῦ τόνου. δαφοινόν.
Φοιτητὴς ὁ μαθητής. καὶ διδάσκαλος.
ἐκ τοῦ φῶ τὸ φοιτήσω. τοῦτο παρὰ
τὴν προ πρόθεσιν. καὶ τοῦ εἶμι
τὸ πορεύομαι. ἐξ οὗ ἐστιν ὄνομα ῥημα-
τικὸν ἰτός. καὶ μετὰ τῆς προ προθέ-
σεως προϊτός. πρωΐτω. καὶ συναιρέ-
σει. προιτῶ. ἐκβολῇ τοῦ ε. καὶ τρο-
πῇ τοῦ ψιλοῦ εἰς δασύ. φοιτῶ. ἢ
παρὰ τὸ οἴσω. οἰτῶ καὶ φοιτῶ.

Φοιτῶ. γίνεται ἐκ τοῦ ὁδός. ὁδῶ καὶ
πλεονασμῷ τοῦ ι. καὶ τροπῇ τοῦ δ.
εἰς τ. οἰτῶ. καὶ πλεονασμῷ τοῦ φ
φοιτῶ. οὐδεὶς φοιτᾶν οἶδεν. εἰ μὴ

πορείαν ποιήσοιτο. σημαίνει δὲ τὴν
ὁδόν.
Φοιτῶ. σημαίνει τὸ παραγίνομαι.
τὸ φοι δίφθογγον διατί. ἀπὸ γὰρ τοῦ
ὁδός. ὁδῶ. καὶ πλεονασμῷ τοῦ ι. οἰδῶ.
καὶ τροπῇ τοῦ δ. εἰς τ. καὶ πλεονασ
μῷ τοῦ φ. φοιτῶ. τὰ γοῦν παρ᾽ αὐτοῦ.
τὴν αὐτὴν ἀποσώζει γραφήν. οἷον φοιτη
τής. οὐρανοφοίτης. ἀεροφοίτης. ἄλ
λως. τὰ ἀπὸ τῆς φυ συλλαβῆς
ἀρχόμενα. διὰ τοῦ υ ψιλοῦ γράφεται.
οἷον φύξα ἡ φυγή. φύκιον ὃ σημαίνει
τὸ προσφυροῦν φυτόν. καὶ φύω τὸ
ὑπάρχω. ἐξ οὗ καὶ θεός. πεφυκώς.
ἐκ πολλῶν ἀκλίων. πλὴν τοῦ φοιτῶ.
ὃ σημαίνει τὸ παραγίνομαι. καὶ φοι
τητής. καὶ ἐφοίτησε καὶ φοιτεία.
ἡ μάθησις. καὶ Φοῖβος. καὶ φοίνιξ.
καὶ φοινικοῦν τῇ χροιᾷ. καὶ εἴ τι
ἐξ αὐτοῦ γέγονεν.
Φοίνικος νέου ἕρνος. καὶ ὁ καρπός.
καὶ ὁ πυρρὸς τοῦ χρώματος. ὡς
τὸ μὲν ἄλλο τὸ φοῖνιξ ἦν. ἐπέτακτο

δὲ τὸ φοινικοῦν ἄνθος· ἐν ᾧ τὰ φοι-
νικὰ βάπτεται.

Φόνος· παρὰ τὸ φῶ· τὸ φονεύω· ἐκ τούτου φόνος· τοῦτο δὲ παρὰ τὸ φένω τὸ φονεύω· ἐκ τοῦ φῶ· φάζω· καὶ πλεονασμῷ τοῦ σ σφάζω· καὶ σφίζω· ὁ μέλλων σφίσω· ὁ παρακείμενος πέφικα· ὁ παθητικὸς πέφισμαι· ἡ μετοχὴ πεφισμένος.

Φοράδιον· ὅτι φέρει δι' ὁρμητικῶς ἐπιφερόμενου·

Φορωνεύς· ἀργείων βασιλεύς.

Φορβειά· τὸ καπίστριον ἀπὸ τοῦ φέρειν βίαν:

Φορμηδόν· φορμός ἐστι πλέγμα τινὸς μεγάλου εἴδους· ἐν ᾧ ἐκοιμῶντο οἱ πένητες· ἢ κατεβάλλετο τὰ ὄσπρια· τάχα δὲ ἡ καλουμένη καλύβη· καὶ ἡ πλεκομένη ἀπὸ καλάμης· ἐκ τούτου δὲ τὸ φορμηδόν·

Φοξός· ὀξυκέφαλος· παρὰ τὸ ὀξὺ ὀξὸς καὶ πλεονασμῷ τοῦ φ φοξός· ἢ παρὰ τὸ φαξός τις ὤν· ἀπὸ—

μεταφορᾶς τῶν περιεστραμμένων ἀγγείων ὀστρακίνων ἐν τῷ ὀπτᾶσθαι. καὶ ἄλλως· φοξὸς ὁ διεστραμμένος.

Φόρκυνος· λιμὴν ἰθάκης· ἐφῶ λιμένι φόρκυνος ἐστὶν ἱερὸν τοῦ θαλασσίου δαίμονος.

Φόρμιγξ· ἡ κιθάρα· παρὰ τὸ φέρειν τὰς νευρὰς αὐτῆς· καὶ μέλος φωνεῖν.

Φορυτῷ· τῷ ἀπὸ γῆς αἰρομένῳ ἀπὸ ἀνέμων χόρτῳ φρυγανώδει· ἀπὸ τούτου φορύω· φορυτῷ· ἢ παρὰ τὸ φέρω ἢ φορῶ.

Φαραγμός· παρὰ τὸ φράσσω· φράζω πέφραχα· πέφραγμαι· φραγμός.

Φοῦρνος· κρίβανος.

Φουκάϊζα· φώκου ἄσσα ὅ ἐστι πυρόπτωτος.

τὸ φ̄· μετὰ τοῦ ρ̄·

Φραγγελῶ· τὸ κατὰ νῶτον τύπτω. ἐκ τοῦ φραγγελίου· σημαίνει δὲ σεῖραν ἐκ σχοινίων· πεπλεγμένην· παρῆκται δὲ ἐκ τοῦ ἔθνους. φράγγελοι γὰρ εἰσὶ τινὰ ἔθνη.

Φόρμιξ· μεταθέσει τοῦ ρ̄· φόρμιξ

γάρ ἐστι παρά τό προηγεῖσθαι τῆς
οἴμης· καί ὅμηρος·

ἡ μέν φόρμιγγος περικαλλέος ἥν ἔχον ἀπόλλων
μουσάων θ' αἵ ἄειδον ἀμειβόμεναι.

πρῶτον ἐπιδάειξεν ὁ Ἀπόλλων· εἶτα
ἐπῆγον τήν ᾠδήν αἱ μοῦσαι.

Φρασαίατο· σκέψοιτο λέγοιτο· ὁ κανὼν
ἐπί τῶν τρίτων προσώπων τῶν εὐκ-
τικῶν· οἱ Αἰολεῖς εἰώθασι τό ἀμετά-
βολον τρέπειν εἰς α οἷον· ποιήσοιντο
ποιησοίατο· φράσαιντο· φρασαίατο·

φρατός· εἰς τό φρατρία· φράτερ ἐκ
τό φράτηρ· καί φράτρη συγγένεια·

φρέαρ· παρά τό φλῶ· τό ἀναδίδωμι.
ἤ παρά τό φέρω· καί συγκοπῇ φρῶ·
καί ἐξ αὐτοῦ φρέαρ· ἐξ οὗ φέρεται
τό ὕδωρ. ἤ παρά τό φέρεσθαι ἐκ τοῦ
ἀέρος.

φράσον· καί φράσαι· διαφέρει· φράσον
μέν· τό εἰπέ· φράσαι δέ· ἀντί τοῦ
διανοήθητι.

——— σύ δέ φράσαι εἴ με σαώσεις.

φρήν· φρενός· διατί· σεσημείωται
οὐδέν εἰς ην λήγει ὄνομα μονοσύλλαβον·

μόνον ἐστὶ θηλυκόν· ἀλλ' εἰ ἐπιδέχοιτο θηλυκὸν γένος ἐν κοινότητι· ἐπιδέχεται οἷον ὁ χὴν ἀρσενικόν·

Χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσι. καὶ ἡ χὴν θηλυκῶς.

χῆνα ἥρπασεν ἀτιταλλομένην ἐν οἴκῳ

ὁ ῥήν· καὶ ἡ ῥήν· σημαίνει δὲ τὸ πρόβατον· καὶ ἐστὶν ἀρσενικοῦ γένους· τὸ δὲ φρὴν ὡς διήλλαξε κατὰ τὸν τόνον· διήλλαξε καὶ κατὰ τὴν κλίσιν· γίνεται δὲ παρὰ τὸ πρῶ τὸ προΐω. κατα προΐω τὸ προΐω· κατὰ προΐω τὸ προπέμπω· πρῶ· καὶ φρῶ· κατὰ μετάθεσιν καὶ ἐντεῦθεν φρήν· ἀφ' ἧς προΐεται τὰ βουλεύματα.

Φρίκη διὰ τοῦ ι· γράφεται· παρὰ τὸ φρίσσω γέγονεν. ἢ τῷ λόγῳ τῶν εἰς κη θηλυκῶν.

Φριμασσόμενοί τε τῷ παράσχω. ἀποφυγόντες. καὶ ἀλλαχοῦ σπιαθέματα φριμασσόμενοι ἐχώρουν.

Φριμασσόμενοι ἢ φυσῶντες. ἀπὸ τοῦ φρῶ· ὅπερ ἐστὶν ἀπὸ τοῦ προΐω. κατὰ συγκοπὴν πρῶ καὶ φρῶ.

φρίσσω· παρὰ τὸ θρίξ· ὃ σημαίνει
τὴν τρίχα· γίνεται· θρίσσω· καὶ φρίσσω·
σημαίνει δὲ τὸ τὰς τρίχας ὀρθοῦσθαι.

φρόνησις· διάνοια· νοῦς· φρόνησις·
ἢ φέρουσα ὄνησιν· φερόνησις τις οὖσα.
καὶ κατὰ συγκοπὴν φρόνησις.

φρονεῖν τοῦ καταφρονεῖν διαφέρει·
φρονεῖν μὲν γάρ ἐστι τὸ καλῶς ἐνθυ-
μεῖσθαι. καταφρονεῖν δὲ τὸ εὐτελίζειν.
ὑπερορᾶν·

φρονέω· φρονῶ· τὸ φρο μικρόν·
διατί· ἐκ τοῦ φρων φρονός· ἔστι γὰρ
ἐν τῇ γενικῇ τὸ ο μικρόν· ἐξ αὐτοῦ
φρονῶ καὶ φρονέω· ὥσπερ μετὰ τῆς
προ πρόφρων

πρόφρων δὴ δαναοῖσι...

φροντὶς ἐκ τοῦ φορατίς· τοῦτο ἐκ
τοῦ φέρω φορτίς· καὶ ὑπερβιβασ-
μῷ τοῦ ν φροντίς· δίκην γὰρ χόρτου
ἔγκειται ἡ φροντὶς τῇ ψυχῇ·

φορτίς· πλοῖον πεφορτωμένον·
ἢ γεννήτρια γυνή·

φροῦδοι· ἄρδην· παντελῶς· ἀφανὴς

ἔρημοι προσώδου οἷον ἀπεληλα-
τες ἔκδημοι. Ἀπολλόδωρος φροῦδος
μὲν. ὁ πρὸ ὁδοῦ φησί. φρουδὸς δὲ
ὁ προορῶν. φροῦδος οὖν ὡσανεὶ φρού-
του πρόοδος. οἷον μακρὰν γενόμενος
εἰς τὸ ἔμπροσθεν τῆς ὁδοῦ. μετα-
θέσει τοῦ π. εἰς φ. ὡς προοίμιον.
φροίμιον.

Φρυγίη. ἰωνικῶς. τὸ κοινὸν φρυγία.
τὸ γι. ι. τὰ διὰ τοῦ ια δηλονά.
παροξύτονα ἐπὶ χώραν λαμβανό-
μενα. διὰ τοῦ ι. γράφεται. πα-
ροξύνονται, πλὴν τοῦ ἀνθρακία.
οἷον βέβρυξ. βέβρυκος. βεβρυκία.
κίλιξ. κίλικος. φρύξ φρυγός φρυ-
γία. ἡ εὐθεῖα. φρύξ. ἡ γενική
φρυγός. ὁ κανὼν τὰ εἰς υξ μονο-
σύλλαβα. διὰ τοῦ γ κλίνονται.
στύξ. στυγός. φρύξ. φρυγός. πλὴν τοῦ
νύξ. νυχός.

Φράδμων. ἐκ τοῦ φράζω. ἐξ αὐτοῦ
φράδμων φράδμονος. τὰ δὲ κοινὰ
τῷ γένει διὰ τοῦ ο.

φρυκτωρεία. ἐστὶν ἡ παρ' ἡμῖν λεγο-
μένη βίγλα. ἢ φανός. κυρίως ἡ διὰ
τοῦ πυρὸς φυλακή. γίνεται δὲ παρὰ
τὸ πδεγος. καὶ τοι οὐρῶ τὸ φυλάσ-
σω. πυρκτουρεία. καὶ τροπῇ τῆς
ου διφθόγγου εἰς ω. πυρκτωρεία.
ὥσπερ βοῶν. βῶν. δωρικῶς. καὶ
τοῦ ψιλοῦ εἰς δασύ. ἡ φρυκτωρεία.
ἡ ἐν ταῖς νυξὶ γινομένη λαμπηδών.
ἣν περ λέγομεν φανόν. καὶ ἄλλως.
ἔστι πῦρ. πυρός. καὶ ὁρῶ τὸ σημαί-
νον τὸ φυλάσσω. καὶ ἐκ τούτου
γίνεται πυρκτωρεία. καθ' ὑπέρθεσιν
τοῦ ρ. καὶ τροπῇ τοῦ π. εἰς φ.
φρυκτωρεία.

φρύγανα. τὰ εἰς τὸ φρύγειν καὶ
καίειν ἐπιτήδεια. οὕτω εἰρηναῖος.

τὸ φ μετὰ τοῦ υ.

φυή. ἡ ὤδηια. φυή. διὰ τί ὀξύνε-
ται. τὰ εἰς η λήγοντα θηλυκὰ
δισύλλαβα τῷ υ παραληγόμενα
βαρύνεται. οἷον δύη. ἡ κακοπάθεια

χυσι ἡ ἀπορία. γυῖη μέρος ἀρότρου.
φυὴ μέρος σώματος.. πλὴν τοῦ φυή.
σημαίνει δὲ τὴν ἀνάπλασιν καὶ ἕξιν.
πλὴν τοῦ σώματος. καὶ πλυή. ἔστι
δὲ δῆμος αἰολικῶς.

Φύλλα. παρὰ τὸ φῦναι αὐτὰ ἐκ
τῆς ὕλης. ἤγουν.
τοῦ δένδρου.

Φῦλα. ὄνομα οὐδέτερον δι᾽ ἑνὸς
λ. πρὸς ἀντιδιαστολὴν τοῦ φύλλου
τοῦ ἐπὶ δένδρου. τὸ φυ. μακρόν.
ἐκ τοῦ φύω. ἢ καὶ τὰ διὰ τοῦ ῦλον
οὐδέτερα δισύλλαβα καθαρὰ μονογε
νῆ. ἐκτείνει τὸ υ οἷον σκῦλον.
φῦλον. σεσημείωται τὸ ξύλον.

Φυλακή. ἀπὸ τοῦ φυλάσσω. τοῦτο
δὲ παρὰ τὸ φυλή. καὶ γὰρ λέγουσιν
ὅτι τὰς φυλακὰς φυλαὶ εἶχον. ὅθεν
λέγομεν. πρώτη φυλακὴ τῆς νυκτός.
καὶ δευτέρα. καὶ τρίτη.

Φυλακή. σημαίνει ἕξ. κατὰ γὰρ τρεῖς
ὥρας ἐφύλαττε φυλακή. καὶ κατὰ
ἄλλας τρεῖς ἄλλη. ὥστε ἡ φυλακή

τῆς νυκτός, τρεῖς ὥρας σημαίνει.

Φυλακή· παρὰ τὸ φυλάσσειν· τοῦτο παρὰ τὸ φυλή· κατὰ φυλακὰς γὰρ ἐ-φύλαττον ἀμειβόμενοι. κατὰ γενεὰς ἐφύλαττον. ἢ παρὰ τὸ πύλη· οἱ γὰρ φυλάσσοντες. ἐν τῇ πύλῃ φυλάττου-σιν.

Φύλαξον. ἐκ τοῦ φυλάσσω. ἐκ τοῦ πύ-λη. τοῦτο δὲ παρὰ τὸ πτήσσω. τὸ φοβοῦμαι καὶ τὸ σφαλίζω.

Φυλή· παρὰ τὸ φῦλον. τοῦτο δὲ παρὰ τὸ φύω. τὸ ἀναφαίνω.

Φυλή· κατὰ γενεὰς γὰρ ἐφύλαττον.

Φυγή· παρὰ τὸ φεύγω. φευγὴ καὶ φυγή. τὸ δὲ ψυγή· παρὰ τὸ ψῦχος. καὶ ψεῦδος.

Φύλλον φῦλον διαφέρει. φύλλον μὲν γάρ ἐστι πέταλον δένδρου. φῦλον δὲ τὸ γένος.

Φῦλα· φύον· τὸ φύον καὶ κινούμενον.

Φύξηλιν· ὁ φυγάς· ἄνανδρον παρὰ τὸ φεύγειν τὰς ἴλας ἤγουν τὰς συσ-τροφὰς τοῦ πολέμου.

Φυσίζωος. ἡ πρὸς τὸ ζῆν φύσιν σα-πᾶσι.

Φύσις· οὐσία. ἢ προαίρεσις.
Φύρω· μιγνύω. ἀμίκτως ἀφύρτως.
Φυρμός. ἡ σύγχυσις ἢ μίξις.
Φύτλη· παρὰ τὸ φυλή. ἢ παρὰ
τὸ φύω· τὸ προσηγγίζω· σημαίνει
δὲ τὴν συγγένειαν.
Φυτόν· παρὰ τὸ φύειν· τὸ ὄν·
ἤγουν τὸ ὑπάρχον· ἢ διὰ τὸ φύ-
εσθαι. ἤγουν γίνεσθαι.
Φύω· εἰς τὸ ἀφυσσόμενος· καὶ
πυρπολούμενος. καὶ ὕας.

τὸ φ. μετὰ τοῦ ω

Φωνέω· φωνῶ· τὸ λέγω. ἢ βοῶ δωρικῶ.
Φῶ· εἰς τὸ ἆσθος· καὶ ἆσμα. καὶ
ἄδω καὶ βοῶτα· καὶ ἔφασκον. καὶ
ἔστερξις. καὶ ἵλεως. καὶ ἰχανῶ.
καὶ οἰδαίνω. καὶ προφήτης. καὶ
φᾶσθαι· καὶ φθέγγω. καὶ φοιτητής
καὶ φόνος. καὶ φῶ.
Φωλεός διὰ τοῦ ε. ψιλοῦ. ὁ κανών.
τὰ εἰς ος καθαρὰ· ἀρσενικὰ ὀξύ-
τονα· τῷ ε παραλήγονται —

Φατέος· ῥειτέος· ἢ ῥυπῶ· σκερός· ση-
μείωσαι τὸ κραταιός· οὕτω καὶ φωλεός.

Φωτεινός· διὰ τῆς ει διφθόγγου· οἱ
γὰρ Αἰολεῖς φωτεννος λέγουσι· καὶ
ἄλλως τῷ λόγῳ τοῦ ἐλπεινός.

Φωλεός· ἐκ τοῦ ὄλω· τὸ συστρέφω· ἐν
ᾧ συστρέφονται τὰ ζῶα.

Φωνή· φῶς νοῦ ἐτυμολογεῖται ἡ
φωνή· τὰ γὰρ κρύφια τοῦ νοὸς
διὰ τῆς φωνῆς ἐκφαίνονται.

Φωριαμός· ἡ κιβωτός· ὄνομα ἀρσενι-
κὸν ἁπλοῦν γίνεται παρὰ τὸ φώρ
φωρός· ἢ παρὰ τὸ φάρειν· εἰ μὲν
οὖν παρὰ τοὺς φῶρας οὐδὲν πέπον-
θεν· εἰ δὲ παρὰ τὸ φάρειν πέπον-
θε· μεταβληθέντος τοῦ α· εἰς ω
ὀξύνεται· ἐπειδὴ τὰ διὰ τοῦ αμος
τρισύλλαβα ἔχοντα τὴν πρὸ τέλους
συλλαβὴν μακρὰν· πάντα ὀξύνον-
ται· οἷον χηραμός· ὀλαμός.
οὕτως οὖν καὶ φωραμός καὶ φωρι-
αμός· πλεονασμῷ τοῦ ι.

Φώρ· ὁ λῃστής· παρὰ τὸ φέρω· φέρ·
ἔστι δὲ φόρ· καὶ μεταθέσει τοῦ ο
εἰς ω φώρ· ὁ τὰ ἀλλότρια φέρων·
ἐξ αὐτοῦ καὶ ἐπ' αὐτοφώρως·
Φοξός· ὁ ὀξυκέφαλος· εἴρηται δὲ
ἀπὸ μεταφορᾶς· τῶν κεραμεικῶν
ἀγγείων τῶν ἐν τῇ καμίνῳ· τῶν
ἀπὸ τοῦ φωγεῖν ἀπεξυσμένων·
καθά φησι καὶ Σιμωνίδης. β.
αὕτη καὶ φοξόχειλος· ἀργυροκύλιξος.
ἔνιοι δὲ κυρίως· τὴν ἐπὶ τὰ φάη·
τουτέστι τὰ ὄμματα· ἀπεξυσμένην
ἔχοντα τὴν κεφαλήν·
Φωνεῖν τοῦ ἀρύεσθαι διαφέρει.
Φωνεῖν μὲν ἐπὶ ἀνθρώπου· ὠρύεσθαι
δὲ ἐπὶ λύκων.
Φωλεός· τοῦ κοίτη διαφέρει· φω-
λεὸς μὲν ἐπὶ ἑρπετῶν τάττεται.
κοίτη δὲ ἐπὶ ἀνθρώπων· ὅθεν καὶ
ἐπὶ ἀνθρώπων ῥητέον τὸ κοιτά-
ζειν. φωλεύειν· ὁ ὅθεν λέγων νεοσσοί.
ἀντὶ τοῦ τέκνα ἀκυρολογεῖ· τέκνα
γὰρ κυρίως· ἐπὶ ἀνθρώπων· νεοσσοί

δὲ ἐπὶ ὀρνίθων· νεβροὶ δὲ ἐπὶ ἐλάφων· σκύμνοι ἐπὶ λεόντων· σκύλακες ἐπὶ κυνῶν.

Φωρίοις· τοῖς φωρίοις ἀντὶ ἀποζῶντες· τοὺς ἀπὸ λῃστείας ζῶντας· φῶρες γὰρ οἱ κλέπται καὶ λῃσταί· ἀπὸ τοῦ φέρω· φέρω φῶ φέρ· καὶ τροπῇ τοῦ ε εἰς ο φόρ· καὶ φώρ.

Φώς· ὀξύτονον ὁ ἀνήρ· παρὰ τὸ φῶ τὸ λέγω· μόνος γὰρ ὁ ἄνθρωπος λογικός· ὡς καὶ ὁ θεολόγος· φῶς γὰρ τὸν ἄνθρωπον ὀνομάζουσι· διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν.

Φῶς· παρὰ τὸ πόρρωθεν φαίνειν. καὶ καθορᾶν τοὺς πάντας.

Φαμισμόν· ἀντὶ τοῦ πόρρωθεν ἀσπαζόμενον.

Φωριαμός· ἡ κιβωτός.

Φώς· ὀξυτόνως ὁ ἄνθρωπος· περισπωμένως δὲ τὸ πῦρ.

Φῶς σημαίνει τέσσαρα· φῶς ὁ θεός· φῶς ἡ ἡμέρα· φῶς τὸ πῦρ· φώς ὁ ἄνθρωπος.

Φωκαίω· ἐκ τοῦ φώκη.

Ἀρχὴ τοῦ χ̄ στοιχείου.

τὸ χ̄ μετὰ τοῦ ᾱ.

Χαίτη· ἡ ἐκκεχυμένη ἀτάκτως.
καὶ ἀτημελήτη θρίξ·
Χαίτη· παρὰ τὸ κρατῶ· κρατή.
Χαλινὸς· διὰ τοῦ ῑ· γράφεται· ἐ-
πειδὴ οἱ Αἰολεῖς χάλινος λέγουσιν.
ὥσπερ ὅμιλος.
Χάραξ· θηλυκῶς ἐπὶ τῶν τῆς
ἀμπέλου· ἀρσενικῶς δὲ ἐπὶ τῶν
ἐν τοῖς πολεμίοις πηγνυμένων.
ἀφ' ὧν λέγουσι χαρακώσαντες.
ὅ ἐστιν ἀντὶ τοῦ περιφράξαντες.
Χαίρω· παρὰ τὸ χωρῶ καὶ κατὰ
συγκοπὴν χῶ· καὶ ὥσπερ παρὰ τὸ
σκῶ σκαίρω· καὶ σπῶ σπαίρω· οὕτω.
καὶ χῶ· χαίρω· ποῦ τοῦ χαίρω ἐνερ-
γητικοῦ παθητικοῦ δηλοῦντος·
τὸ ἐχάρην παθητικοῦ ἐστιν ἀορίστου
δευτέρου· ἢ ἐνεργητικοῦ· ὁ γὰρ
ἐχάρην δεύτερος· ἀόριστος ἐνεργητικός

οὗ λέγεται· εἰκότως ὁ παθητικός.
μὴ ἔχων τί τὸ ὄφειλον ἐλέγξαι.
τὴν παραλογίαν αὐτοῦ· ἔλαθε καὶ
ὑπεισῆλθεν· εἰς χρείαν τοῦ ἐνερ-
γητικοῦ.

Χαιρέας ὁ ἔρως· ἐκ τοῦ χαίρω

χάος παρὰ τὸ χεῖσθαι.

Χαλεπός· ἐκ τοῦ χαλέπτω ῥήματος.
τοῦ σημαίνοντος τὸ ὀργίζομαι· κατὰ
παραγωγὴν χαλεπταίνω· καὶ ἐκβο-
λῇ τοῦ τ χαλεπαίνω.

Χαλκήρεϊ· γένους θηλυκοῦ ἡ εὐ-
θεῖα χαλκήρεος· ὁ κλίνων τὰ ὁ-
μόφωνα θηλυκὰ τοῖς ἀρσενικοῖς.
ὁ χαλκήρευς γὰρ ἐκ τοῦ χαλκός.
καὶ τοῦ ἀρῶ· τὸ ἁρμόζω· τὸ κη· η
διατί· τὰ διὰ τοῦ ηρευς ἀρσενικὰ
βαρύτονα· διὰ τοῦ η γράφεται.
οἷον ποδήρευς ὁ ἱερατικὸς χιτών.
κλινήρευς ὁ παραλελυμένος· φρε-
νήρευς ὁ φρόνιμος.

Χαίτη ἡ θρίξ· ἡ κόμη τῶν τριχῶν.

τοῦτο δὲ γέγονε παρὰ τὸ κρατῶ.
κράτη. καὶ χάτη. καὶ ἐν πλεονασ=
=μῷ τοῦ τ. χαίτη.

Χαλκίον. τὸ θερμαντήριον σκεῦος.

Χαλκός. ἐκ τοῦ χάλυψ χάλυβος.
σημαίνει δὲ τὸ ἔθνος. ἐκεῖ γὰρ εὑρέ=
=θη ὁ χαλκός. ἐκ τοῦ οὖν χάλυβος
γίνεται χαλβός. καὶ τροπῇ τοῦ
β. εἰς κ. χαλκός. διατί. ἐκλήθη
χαλκὸς ὁ σίδηρος. διότι πρότερον
εὑρέθη παρὰ τοῖς ἀρχαίοις ὁ χαλ=
=κός. ὕστερος εὑρεθεὶς ὁ σίδηρος. ἐ=
=κάλεσαν αὐτὸν ὁμωνύμως τῷ χαλ=
=κῷ. σίδηρος δέ ἐστι.

Χάλαζα. παρὰ τὸ χαλᾶσθαι ἄ=
=νωθεν.

Χαλκάς. ἐκ τοῦ χαλκός. τοῦτο
παρὰ τὸ ἀλκή. ὃ σημαίνει τὴν
δύναμιν. ἀλκός καὶ χαλκός.

Χαλκοχίτωνες. ἐκ τοῦ χαλκός
καὶ τοῦ χιτών χιτῶνος. ὁ κανὼν
τὰ εἰς ων ἰαμβικά. πρὸ τέλους
ἔχοντα τὸ τ. φυλάσσουσι τὸ ω.

ἐπί γενικῆς. ἐπί τε βαρυτόνων καί

ὀξυτόνων. πτώθων. πτώθωνος. ὄνο-

-μα πόλεως. κιθών. κιθῶνος. τρίβων

τρίβωνος. σημαίνει δέ τό διδυμκαλ-

-κόν ἱμάτιον.

Χιτωνίσκος. ἱματίου διαφέρει.

Χιτωνίσκος μέν ὁ κολοβιῶν. ἱμάτιον

δέ αὐτό τό ὁμοφόριον

Χαλινός. ἐκ τοῦ χαλᾶν τα ἡνία.

Χαμαί. παρά τήν χθόνα. ὅθεν αὐ-

-τή δέ χθαμαλή. ἡ δέ χθών. πλεο-

-νασμῷ τοῦ θ. χθών. χθὼν γάρ ἐστιν

ἡ παντί χωροῦσα. χαμαλή οὖν

ἐστι τό χαμαί ἐντεῦθεν. ἡ παρά

τό χέω. ἡ ἐκχυμένη γῆ.

Χαμαίμηλον. εἶδος βοτάνης. διά τό

πυκνόν τῶν φύλλων.

Χαμαιλέων. διά τό ποικίλον τοῦ

εἴδους.

Χάος. κενός τόπος. μεταξύ γῆς

καί οὐρανοῦ

Χάσμα. παρά τό χῶ. ἤ παράγωγον

Χάζω. ὁ μέλλων· χάσω. καὶ χάσμαι
χάσμα.
Χαλκίς· εἶδος ὀρνέου. ἥτις καλεῖται
κίμιν ἀπὸ τῆς φωνῆς.
Χαμόθεν καὶ χαμάζε. τὸ μὲν ἐκ
τόπου· τὸ δὲ εἰς τόπον· τὸ χαμαι-
πετὲς· καὶ χαμαίζηλον· πάντως
διὰ τῆς διφθόγγου ἔχει τὴν δευτέ-
ραν συλλαβήν. χαμαιπετὴς δὲ καὶ
χαμαίζηλον· καὶ χαμαιπετὲς τὸ
αὐτὸ δηλοῖ.
Χαμαιτύπη. ἡ πόρνη. παρὰ
τὸ χαμαὶ τύπτεσθαι.
Χαμαίζηλος. παρὰ τὸ χαμαὶ καὶ
τὸ ζῆλος. τοῦτο παρὰ τὸ ζέειν
ὅλως. τὸ μαι δίφθογγον. τὰ
παρὰ τὸ μαι συγκείμενα ἅπαν-
τα διὰ τῆς αι διφθόγγου γρά-
φονται.
Χαῦνος. παρὰ τὸ χαίνω. χάνος
καὶ φαῦνος. ὡς χαίνω. χαῦνος —

σημαίνει δὲ τὸν ταπεινόν.

Χαλίφρων· κυρίως ὁ . . .

χάλις γὰρ ὁ ἄκρος οἶνος· παρὰ τὸ
ἱέναι τὰς φρένας.

Χἀυτῷ· ἀντὶ τοῦ ἑαυτῷ· καὶ κατὰ
ἀποβολὴν τοῦ ῑ· τοῦ καὶ συνδέσμου.
καὶ τοῦ ε· καὶ κρᾶσει τοῦ ᾱ καὶ ῡ.
εἰς τὴν αυ δίφθογγον· γίνεται κ'αὐ-
τῷ· καὶ ἐπεὶ δασύνεται τὸ ᾱ· διὰ
τὴν αὐτοπαθῆ ἀντωνυμίαν ἐτρά-
πη τὸ κ̄· εἰς χ̄ καὶ γέγονε χ'αὐτῷ.

Χάος παρὰ τὸ χῶ χέω· χάος δη-
λοῖ δὲ τὸ τῆς γινομένης ἀπὸ τῶν
ἐπιφερομένων ὀμβρείων ὑδάτων.

Χαράδρης· τῆς ἐγχαράξεως τοῦ
ἐδάφους εἴρηται οἱονεὶ ἐγκεχα-
ράχθαι τῇ φορᾷ τοῦ ὕδατος.

Χάραγμα· χαράσσω· κατὰ παρα-
γωγήν· σημαίνει δὲ κοίλωμα ὄ-
ρους.

Χερόνησος· ἐκ τοῦ χέρ· χερσὸς καὶ
τοῦ νῆσος γίνεται χερόνησος.

Χερνίβιον· παρὰ τὸ τὰς χεῖρας νίπτειν.

Χερουβὶμ· παρὰ τὸ χεὶρ· χειρός.

Χάρμη· ἡ μάχη· ἔτι δὲ ὅτε δηλοῖ ἡ λέξις· καὶ τὸ χαίρειν τῇ μάχῃ· παρὰ τὸ χαράσσω· τὴν δὲ χαρὰν ὥς φησὶ καὶ Ἀριστείδης χάρμα.

Χάραξ· φραγμός· ὀξέσι ξύλοις ἢ καλάμοις ἐχόμενος· ἐκ τοῦ χαράσσω.

Χέω· παρὰ τὸ χέω χάος· ὡς δαίω· τὸ καίω δάος· ἡ λαμπάς· δηλοῖ δὲ χάος· τὸ μέγα καὶ ἀπέραντον.

Χαράδραι· ὑπὸ τῶν χειμάρρων ἐκρησσόμενοι αὐλῶνες· παρὰ τὸ χαράσσειν καὶ τραχύνειν τὴν γῆν.

Χαραδριός· ὁ ἡδόμενος ταῖς χαράδραις.

Χαράκια· τὰ ὑποστηρίγματα.

Χάρτης· παρὰ τὸ χαράσσω.

Χαρακτήρ· ἐκ τοῦ χαράσσω καὶ σκιάζω· ὁμοφωνεῖ.

Χάρις· δωρεά· ἀρετή· καλλονή· ἐκ τοῦ χαίρω.

χάρις χάριτος ὄνομα κύριον.

χάριν τούτου. διὰ τοῦτο.

χάρτης. παρὰ τὸ γνωστικὸν χωρεῖν· ὁ τὰ γραφόμενα χωρῶν. ἢ διὰ τὸ τοὺς χαρακτῆρας.

χάρων. παρὰ τὸν χώσω μέλλοντα. δηλοῦντα τὸ χωρῶ. ἢ τῷ φιλοξένος.

χαρτοφύλαξ. παρὰ τὸ χάρτης. καὶ τὸ φυλάσσω. γίνεται σύνθετον ὄνομα παρὰ τὸ φυλάσσω. χαρτοφύλαξ.

χάρυβδις. ὠμόβροτος. ἐκ τοῦ χάος. καὶ τοῦ ῥύβδης. ἢ ἀναπιδομένη θάλασσα ἐπὶ τὰ γάδειρα· καὶ πάλιν ἐαγδοστρέως. ἐπαναστρέφουσα. λέγεται δὲ χάσμα θαλάσσιον ὅλως. πᾶν τὸ εἰς χάος καὶ ὄλεθρον κατασπῶν. διαφέρει κῆτος θαλάσσης.

Χατίζεις. χρήζεις.

χέρας τῆς ὑπὸ ποταμῶν ἀθροιζομένης ψάμμου καὶ ξύλων

εὐκομιδῆς. Ἀρίσταρχος δὲ χαράδρας καλεῖσθαι φησὶ τοὺς ποταμοὺς καὶ τοὺς ἐν αὐτῷ λίθους.

Χάρυβδις· θαλάσσης βάθος ἀναποστικόν. ἐστὶ δὲ μεταξὺ τοῦ Ἀδρείου καὶ τοῦ πελάγους τοῦ σικελικοῦ.

Χασμωδία· ἀλλη παλληλία· φωνηέντων ἤτοι συνέχεια.

τὸ $\overline{χ}$· μετὰ τοῦ $\overline{ε}$.

Χέδροψ· ὄσπριον ἄγριον.

Χελιδών· ἢ παρὰ τὸ τὰ χείλη δονεῖν· ἢ παρὰ τὸ τὰ χείλη δαίνειν· ἢ παρὰ τὸ τοῖς χείλεσιν ᾄδειν.

Χελιδὼν εἴρηται, παρὰ τὸ κελαδεῖν. κελαδῶν τις οὖσα· τὸ μέντοι κελαδεῖν διὰ τοῦ $\overline{ε}$ ψιλοῦ γραφόμενον. μαρτυρεῖται ἐκ τῆς χρήσεως· ποταμοῦ κελαδοῦντος.

Χελήνη· ἢ χελώνη κατὰ γλῶσσαν.

Χελώνη· κατὰ στέρησιν τοῦ κέλλειν. ὅ ἐστι κινεῖσθαι· τὸ γὰρ νω στερητικόν· νωθὴς γὰρ τὸ ζῶον διχηλή

τὶς οὖσα· παρὰ τὸ διαχίεσθαι ὥσ-
περ ὁπλή· ἀντὶ τοῦ ἁπλή·
χέλυς· ἡ κιθάρα.
χήν· ὄνομα θηλυκὸν κοινὸν τῷ γένει.
ὁ χὴν καὶ ἡ χήν· κρακτικὸν γὰρ
ἐστὶ καὶ φωνητικόν· γίνεται δὲ πα-
ρὰ τὸ ἠχεῖ· ὃ σημαίνει τὴν βοήν.
χηλός· τὸ κιβώτιον· ἐκ τοῦ χῶ.
καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν
γίνεται κιβωτός.
χὴν καὶ χῆνα τὸ χηνάριον· παρὰ
τὸ ἠχεῖν. ἢ παρὰ τὸ χαίρειν τοῦ-
τέστι πήδειν· πήδον χηνάριον·
διότι ἐν τοῖς νάμασι χαίρει· ἢ
παρὰ τὸ ἕζω τὸ καθέζομαι· οἱ
γὰρ δεδεμένοι κυρίως ἐπὶ τῆς γῆς
κατακεῖνται.
χεῖλη· παρὰ τὸ χαίνειν καὶ στέλ-
λειν.
χεῖα· παρὰ τὸ χωρεῖν. ἀλλὰ καὶ
χηραμὸς ἡ κατάδυσις τῶν θηρίων.
ὁ φωλεὸς τῶν μυρμήκων.
χεῖλος· τὸ μέρος τοῦ σώματος· πα-
ρὰ τὸ χέειν τοὺς λόγους. χέλος καὶ

χεῖλος· καὶ χεῖλος τοῦ ποταμοῦ.

χεῖλος δὲ ὄνομα κύριον.

χεῖμα· ὁ χειμών.

χειμάδεια δὲ τόποι· ἐν ᾧ δεῖ πα-
ραχειμάσαι τῷ χειμῶνι. ἐφ' ᾧ ἄν-
τις δύναιτο χειμῶνος ἐγκαθορμί-
σασθαι. ἤτοι χειμάσαι. χειμαδία
δὲ· ἡ τοῦ χειμῶνος ὥρα.

χερειότερος· χερείων· καὶ κατὰ
μεταπλασμὸν πλεῖος· πλεῖα· καὶ

πλειαί τοι χαλκοῦ κλισίαι—

καὶ τί σημαίνει τὸ χερείων· τὸ
ἐλάσσων.

χειμών· παρὰ τὸ χέω· ὁ ἐν τῇ γῇ
χεόμενος.

χειμάρροος ὁ ποταμός· παρὰ τὸ
ἐν τῷ χειμῶνι ῥεῖν· ἢ διὰ τὸ χέ-
εσθαι εὐμαρῶς· ἤγουν εὐκόλως.

χείμεθλον· τὸ ἐν τῷ χειμῶνι γε-
νόμενον ῥίξιον τῶν δακτύλων ἕλ-
κος.

χειμερινός· παρὰ τὸ χεῖμα· ὡς
παρὰ τὸ ἐαρινὸς ὤν.

χειρῶν· χείρωνος· οἱ Αἰολεῖς χέρων
καὶ χερῶν· ἐπὶ μὲν κυρίου φυλάσσει
τὸ ω· ἐπιοῦ φυλάσσει.
Χειμὼν διὰ τὸ χέεσθαι μονήμως.
ἤγουν ἐπὶ μῆνας πέντε· ἢ ἕξ.
Χερσοπόν· ὄσπριον· χέρσοπα γὰρ
λέγεται· τὰ τῇ χειρὶ ἀνασπώμενα.
Χαράδριος· παρὰ τὸ χέειν τοῖς ὕ-
δασι. - - - - - γὰρ τὰ ὄρη.

Χειρῶναξ· χαλκεύς.
β Χειροχοσκός· ὁ διὰ χειρὸς ζῶν· φησὶ
σοφοκλῆς.
Χερουβὶμ· ἐπὶ μὲν ἑνικοῦ δίφθογγον.
ἐπὶ δὲ πληθυντικοῦ διὰ τοῦ ῑ.
Χερείων· ὁ χείρων· ὁ ἐλάσσων· συγ-
κριτικόν. διότι τὸ χερεῖος δίφ-
θογγον.
Χερρόνησος· γῆ· ἐκ δεξιῶν καὶ
ἀριστερῶν ἔχουσα θάλασσαν
Χέρσος ἡ ξηρὰ γῆ· παρὰ τὸ κεί-
ρω τὸ κόπτω· ὁ μέλλων κερῶ
Αἰολικῶς κέρσω· καὶ ἐξ αὐτοῦ
κέρσος καὶ χέρσος ἡ κεκομμένη γῆ

το χ. μετά του η.

Χήλυξι τοῖς ὄνυξι τοῦ βοός. ἐκ
τοῦ χαλῶ. ἐξ οὗ δίχηλος. χηλός. χῶ
χύσω. χηλός. ὥσπερ τὸ ὕσω. ὕλος.
ἡ χωροῦσα ἔπασον πολύ.
Χήρα. ἡ γυνή. παρά τὸ χαίρω.
χαρά. κατ' ἀντίφρασιν. ἡ μή χαί
ρουσα. ἢ τὸ χῶ τὸ χωρῶ. ὁ μέλ
λων χύσω καὶ ἐξ αὐτοῦ γίνεται
χήρα. ἡ χωριστική τῆς λύπης.
ἡ ἠρημωμένη τοῦ ἀνδρός.
Χῆραι τε ἄνδρας μή ἔχουσαι. καί
γίνεται ἐκ τοῦ χῶ τὸ χωρῶ. ὁ μέλ
λων χύσω. καί ἐξ αὐτοῦ γίνεται χή
ρα. ἐτυμολογεῖται δέ παρά τὸ
χαρά. καί ἀναδόσει τοῦ τόνου.
καί τροπῇ τοῦ α. εἰς η. γίνεται
κατ' ἀντίφρασιν ἡ ἐστερημένη τῆς
εὐφροσύνης καὶ τῆς χαρᾶς.
Χηρωσταί. ἀλλότριοι. ἢ οἱ πόρρω
θεν συγγενεῖς. διότι χηρεύοντες
τοῦ οἴκου καὶ ἐρήμου ὄντος τέκ
νων αὐτοί κληρονομοῦσι.

Χηραμός· παρὰ τὸ χῶ· τὸ χωρῶ. χωρεύω· χῆρος· ὁ ἔρημος· ὁ χωρεῖν δυνάμενος· διὰ τὸ κενὸν εἶναι· χῆρος ὁμοῦ καὶ παρωνύμως· χηραμός ἔστι δὲ χηραμὸς ὁ φωλεὸς τοῦ ὄφεως.

Χῆτις· ἡ στέρησις.

Χήτει δοτική· στερήσει· ἐνδείᾳ καὶ σπάνει· παρὰ τὸ χῶ ῥῆμα· ὃ σημαίνει τὸ ἐνδέομαι· χῶ ὁμοῦ ὁ μέλλων· χήσω· ὄνομα ῥηματικὸν χητίς· οὐδέτερον δηλοῦν τὴν ἔνδειαν. χῆτις ἡ ἔνδεια. καὶ χῆτος ὄνομα οὐδέτερον· παρὰ τὸν χήσω μέλλοντα. χήτει Ἡσίοδος. παρὰ δὲ τὸ χῆτος ῥῆμα χητίζω. καὶ χατίζω· οὕτω Φιλόξενος.

Χήλωμα· τὸ τῶν κτηνῶν.

Χθαμαλή· χθαβινή· καὶ εἰς τὸ ἄσθμα· ὁ μὴ ἔχων καιρόν· ὥριος τῆς ὥρας· προέφθαβαν ἐν ἀωρίᾳ. παράωρος· ὁ μὴ ἔχων ὥραν· κανώριος ὁ ἕνα τίκτων παῖδα.

## τὸ χ. μετὰ τοῦ θ.

χθιζά τε. χθεσινά. ἐπίρρημα ἀπὸ
ὀνόματος γενόμενον. ἐπίρρημα. ὡς
ἐν τῷ ἔτεον καὶ τὸ βίδηρον. τὸ
χθιζόν διατί ὀξύνεται. τὰ εἰς ζος
ἀπὸ ἐπιρρήματος παραγόμενα ἢ
τριγενῆ ὄντα. ὀξύνεται. οἷον χθι:
:ζός. πρωϊζός. καὶ πόθεν παρήχθη. ἐκ
τοῦ χθές. καὶ ποῖον ἐστὶν ἀναλογώτερον.
καὶ κυριώτερον. καὶ πρῶτον τὸ ἐχθές
ἐπειδή. κανών ἐστιν ὁ λέγων. ὅτι πᾶν
ἐπίρρημα μονοσύλλαβον. ἀπαθὲς κα:
:τ' ἰδίαν ἐκ τοῦ μακροκαταληκτεῖ. φύ:
:σει ἢ θέσει. ὥστε τὸ χθές. οἷον νύ:
νυ. πλῆν. δήν. πύξ. λάξ. μάψ. ἄψ.
προσθήκεται μονοσύλλαβα, διὰ τὴν
δισυλλαβίαν. προσθήκεται ἀπαθῶς. διὰ
τὸ δίς. καὶ τρίς. ταῦτα γὰρ κατὰ πά:
:θος ἐστίν. ἐκ τοῦ δισάκις καὶ τρισάκις
προσθήκεται κατ' ἰδίαν ἐκ τοῦ. ὅτι ἔδει
αὐτὸ μακροκαταληκτεῖν εἴτε φύσει
εἴτε θέσει. ὡς τὸ ἐχθές ἀναλογώτερον
ἐστιν ἐκφέρον τὴν ἀναλογίαν τοῦ —

ἐχθὲς· γίνεται ἐκ τοῦ ἐκθέω· ἐκθε-
σω· ἐχθὲς· ἡ ἐχθεῖσα ἡμέρα.
ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐκτός.
ἐκτὸς γίνεσθαι ταύτης τῆς ἡμέρας.
χθονὶ τῇ δοτικῇ· κλίνεται χθὼν χθο-
νός· ὁ κανών· πᾶν ὄνομα μονοσύλλα-
βον εἰς ἀμετάβολον λῆγον· προσθέ-
σει τοῦ ος κλίνεται· οἷον κλών·
κλωνός· χήν· χηνός· πλών· πλωνός·
ῥίν· ῥινός· σημαίνει δὲ τὸν ἀέρα·
χθών· παρὰ τὸ χῶ· τὸ χωρῶ· γίνεται
χὼν· καὶ πλεονασμῷ τοῦ θ̄ χθών· ἡ
πάντα χωροῦσα· πᾶν ὄνομα μονοσύλλα-
βον λῆγον προσλαμβάνει τοῦ ος κλίνεται.
εἴρηται ἐν τῷ φρω· περὶ τοῦ χθο-
νὸς εἴπομεν· ὅτι κανών ἐστιν ὁ λέ-
γων· ὅτι τὰ εἰς ων λήγοντα ὀξύτο-
να μονοσύλλαβα μόνως ἀρσενικὰ
καὶ μὴ μόνως θηλυκὰ φυλάσσει τὸ
ω ἐπὶ γενικῆς· οἷον κλών· κλωνός.
πλών πλωνός· ὥστε πλὼν ἰχάνει ὕ-
δωρ· τὸ δὲ χθών· ἐπεὶ μόνως ἐστὶ
θηλυκὸν διαφέρει· τούτου χάριν —

ἔστρεψε τὸ ω̅ εἰς ο̅· οἷον χθονός· καὶ ἐξ αὐτοῦ χθόνιος.

τὸ χ̅ μετὰ τοῦ ι̅.

Χίδρα· στάχυες ἁπαλοῦ σίτου. ὁ νέος καρπός. ἢ ἄλευρον. τὸ ἐξ ἁπαλῶν κριθῶν φρυκτὸν γινόμενον. χίδρα τινὰ ὄντα. καὶ χίδρα τὰ τῇ χειρὶ ἀνασπώμενα.

Χίλιοι διὰ τοῦ ι̅. ἐπειδὴ οἱ Αἰολεῖς χίλιοι ἔλεγον. τοῦτο δὲ ἔχουσι ἔθος ποιεῖν ἐπὶ τῶν γραφομένων.

Χιλὸς ἡ τροφή· ἐξ οὗ καὶ Χίλος ὁ Ἀχιλλεύς.

Χιλῶ τε ἕνεκα· καὶ τῆς λείας. ἀλλαχοῦ φύουσι γὰρ χιλὸν καὶ ἐ . . . . καὶ χόρτον.

Χιλὸς οὖν ἡ τροφή· παρὰ τὸ ἴσχειν τὸ σῶμα. τουτέστι κρατεῖν. χιλὸς δὲ ὁ χόρτος τῶν βοσκημάτων. παρὰ τὸ χεῖσθαι τῷ ἕλει. χηλὴ δὲ ἐπὶ τῶν διωνύχων ζώων. οἱονεὶ χηλή τις οὖσα. ἀπὸ τοῦ ἐχεῖσθαι. ὥσπερ ὁπλὴ ἢ ἁπλῆ· ἐπὶ ἵππων καὶ ἡμιόνων.

χείρ· τὸ χείρ διὰ τῆς ει διφθόγγου
γράφεται ἐπειδή· οἱ δωριεῖς χήρ
λέγουσι· διὰ τοῦ η· καὶ ἔθος ἔχουσι
τὴν ει δίφθογγον εἰς η· τρέπειν
οἷον πλείων πλήων.

χείρων· ὁ κένταυρος· χεῖραι καλοῦν:
:ται αἱ ἐν τοῖς ποσὶ ῥαγάδες· ἔνθεν
καὶ χείρων διὰ τὸ ἐν χείρεσιν.

χίμαιρα· ἡ πηχειδινὴ αἶξ· ἔστι δὲ
ὄνομα θηρίου τρικέφαλον· εἴρηται
ὁ κανών.

χίμαρρος· ὁ τραγός· ἐκ τοῦ χείμαρ:
:ρα· τὸ χῖ· ῑ· πρὸς ἀντιδιαστολὴν
τοῦ ποταμοῦ, τοῦ ἐν τῷ χειμῶνι
ῥέοντος· καὶ γίνεται παρὰ τὸ κίω·
τὸ πορεύομαι· κίμαρος· καὶ χίμα:
:ρος.

χῖτος· ἐπὶ τοῦ πολίτου ὁ λόγος·
ἡ δὲ νῦδος· διὰ βραχέος τοῦ ῑ.

χιράδες· αἱ τῶν χειρῶν· χιρὰς δὲ
τὸ πάθος.

χιτών ἐπὶ μὲν τοῦ συνήθους·
τῶν δὲ χιτώνων εὑνοῦσασα παρὰ χευ:
:σιδῦσι σιγαλόεντα· ἐπὶ τοῦ θώρακος
ἐκτόρεον.

Χιτών ὑποκάμισον. τό τοῦ ἀνδρός ἱμάτιον. παρά τό περικεχύσθαι τῷ σώματι ἡμῶν. τό δέ τῆς γυναικός πέπλον. λέγεται καί χιτωνίσκος.

τὸ χ̄. μετά τοῦ λ̄.

Χλαῖνα. παρά τό χλιαίνειν. ὅ ἐστι θερμαίνειν. οὕτως ἡρωδιανός ἐν ἐπιμερισμοῖς. χλαῖνα γίνεται ἐκ τοῦ χλιαίνω τό θερμαίνω. καί τί διαφέρει χλαῖνα χλανίς. καί χλαμύς. χλαῖνα μέν λέγεται τό παχύ καί χειμερινόν ἱμάτιον. χλανίς δέ τό λεπτότατον. καί τρυφερόν ἱμάτιον. ὅπερ φοροῦσιν οἱ ἱεροφόροι. χιτών δέ τό ὑποκάμισον. ἐτυμολογεῖται δέ χιτών παρά τό κεχύσθαι ἡμῖν τοῖς ὤμοις.

Χλευασμός. ἀπό τοῦ χλευάζω. τοῦτο ἐκ τοῦ χλεύη. ὅ σημαίνει τήν ἀπάτην. τοῦτο ἐκ τοῦ κλέπτω. κλέπτη. καί χλεύη. κλέπτω

τινά. χλευάζω αὐτόν. ὁ γὰρ χλευ-
άζων τινά. ὑποκλέπτει αὐτόν.
ἢ ἀπὸ τοῦ χεύω. γίνεται χεύη.
καὶ πλεονασμῷ τοῦ λ. χλεύη.
ἢ παρὰ τὸ γελῶ. γελεύη. καὶ χλεύη.
χλεύη. χειλεύη τις οὖσα. παρὰ
τὸ ἀνοίγειν τὰ χείλη. οἱ δὲ
παρὰ τὴν χλόην. δυσωπητικὰ
γὰρ τὰ σκώμματα. καὶ χροιᾶς
ἀλλοιωτικά φασι.

χλιδή. ἡ τρυφή. τὸ χλι. ῑ. τὰ
εἰς δη. ψιλὰ ἐνὶ φωνήεντι πα-
ραλήγεται. οἷον πακνίδη. ἴδη.
χλιδή. ἔστι δὲ καὶ χλίδος βαρυτό-
νως. καὶ χλιδῶ περισπωμένως.
δευτέρας συζυγίας τῶν περισπω-
μένων.

χλιδῇ ἥκιστα ἔχαιρες ἀγλαΐσματι.
τρυφῇ. καὶ χλιδᾶν τὸ τρυφᾶν
παρὰ τὸ χαλκοῦ ῥῆμα. καὶ τὸ δέω.
τὸ πρέπω. χαλιδή. καὶ χλιδή. ἡ
ὑπὸ χαλῶσα τοῦ πρέποντος. λέγε-
ται δὲ καὶ χλιδὴ ἡ ἔκλυσις καὶ
μαλακία, ἀπὸ τοῦ ἐκλυάνθαι καὶ

ἐκλελάθαι ἀθηνεία τοῦ ἀνέμου
καί χλίδοντα ἀντί τοῦ πληθύ-
ζοντα.

Χλῆδος· ἀρσενικῶς· καί οὐδετέρως
κυρίως δέ ὁ σωρός τῶν λίθων.

Χλωρός· παρά τό χολή· χολε-
ρός καί χλωρός· ἐκ τοῦ ὠχρός.

Χλωρότης ἔστι χέω· χόλος· καί
χολή· καί ὑπερθέσει τοῦ χ χλό-
η· καί ἐκ τούτου χλοερός· καί
τροπῇ τοῦ η εἰς ω· καί κράσει.
χλωρός· καί ἐκ τούτου χλωρότης.
χλωρός· παρά τό χλῶ καί τό ὥρα
ὃ σημαίνει τήν μορφήν· γίνεται χλω-
ρός· ἐκ δέ τοῦ χλωρός γίνεται χλω-
ρότης. ὁ τήν μορφήν κεχαλασμέ-
νην ἔχων. ὁ μέλι χλωρός· χλοε-
ρός δέ.

Χλόη· παρά τό φλέω τό ἀναδίδω-
μι· φλόη· καί χλόη.

τό χ. μετά τοῦ ο.

Χοῖνιξ· καί ὑφ᾽ ταύτου ἐστι· ἔστι
δέ μέτρον ξεστῶν δύο· καί ποσί μόριον.

ὅ ἐστι τῶν δύο δρακῶν τῆς χειρὸς τὸ μέτρον. χοῖνιξ δὲ τὴν χώρησιν.

Χοιράδες. νόσημα τί περὶ τὸν τράχηλον τῶν ἀνθρώπων γενόμενον. ὅπερ οἱ ἰατροὶ χοιράδας καλῶς ὠνόμασαν. διὰ τὸ ζώοις ἐοικέναι τοιούτοις. τὰ δημιουργοῦντα τὸ νόσημα καὶ κενοὺς ὀυφεῶνας ἀνθρώπων τοὺς τραχήλους ποιούμενα.

Χοῖρος. διὰ τὸ τὴν χύσιν ὡρᾶν. καὶ εὐφρᾶν. ἤτοι τοῦ χείρονος ἐρᾶν. ἤτοι τοῦ χοὸς ἢ χόω ἐρᾶν.

Χοῖχος. παρ' ὅτι τοῦ χοῦν ὀρύγει.

Χολάδες. τὰ ἔντερα. εἰς αὐτὰ γὰρ ἡ ξανθὴ χολὴ συρρεῖ. τοῦτο μηχανησαμένης τῆς φύσεως. πρὸς τὸ διαθερμαίνεσθαι αὐτὰ καὶ ἐρεθίζεσθαι τῇ δριμύτητι αὐτῆς. πρὸς τὴν παράκρισιν τῶν περιττῶν. ἔμελλε γὰρ ψυχρὰ ὄντα τῇ κράσει ἀργὰ μένειν. καὶ μηδέποτε ποιεῖν τὴν παράκρισιν. τοιαῦτα γὰρ τὰ

νευρώδη πάντα. ἐτυμολογεῖται δὲ
παρὰ τὸ χεῖσθαι. οὐ καλῶς.
Χόλος. παρὰ τὸ χέω. καὶ εἰς τὸ
ξανθός. καὶ θυμός.
Χολωσάμενος. ὀργισθείς. τὸ χό μι
:κρόν. διατί. ἐκ τοῦ χέω. ὁ γὰρ
χόλος διακεῖται. ἡ πρώτη ἔκκαυ
:σις τῆς καρδίας. καὶ διάχυσις
τῆς χολῆς πρὸς ὀργήν. χόλος δὲ
λέγεται. ποίου εἴδους τῶν ὑποπεπ
:τωκότων. τῷ ὀνόματι. εἰδικοῦ. καὶ
τὸ γενικόν ἐστι θυμός. ταῦτα δὲ εἰ
:ρηται καὶ εἴδη εἴδη.
Χολή. παρὰ τὴν ὀργήν καὶ τὴν
μελανίαν. ἡ διὰ τὸ χέεσθαι τὴν
αὐτὴν εἰς ὅλον τὸ σῶμα καὶ τυ
:φλοῦν αὐτό.
Χόλω. καὶ χολῶ διαφέρει. ἐπὶ μὲν
τοῦ ὀργιζομένου ἐκ τοῦ χολή.
ἐστι δὲ δευτέρας συζυγίας τῶν
περισπωμένων. χολῶ. χολᾶς καὶ
τὸ πληθυντικὸν χολᾶτε. ἐμοὶ
χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ
ἐποίησα. ἐπὶ δὲ τοῦ ἐκ τοῦ χόλος.

γίνεται χολῶ. τρίτης συζυγίας τῶν περισπωμένων. χολῶ. ὁ μέλλων χολώσω. κεχολωμένος.

χολωσέμεν. ὀργιαλίσεσθαι. καὶ οἱ Δωριεῖς τὰ εἰς ναι ἀπαρέμφατα ποιοῦσιν εἰς μέν. καὶ οἱ Αἰολεῖς εἰς έμεναι. τύπτειν. τυπτέμεν. καὶ τυπτέμεναι. γελάσειν γελασέμεν. γελασέμεναι. χολώσειν χολωσέμεν. χολωσέμεναι.

χόνδρος. τοῦ στομάχου ἔντερον. ἔνθεν καὶ ὑποχόνδριον. καλεῖται καὶ χορδή. καὶ λοιπὸν φύσκει τὸ ἔντερον.

χορδή. τὸ ἔντερον. ἢ ἡ λύσις τῶν ἐντέρων. παρὰ τὸ χωρεῖν τὴν ἐδωδήν.

χορδή. καὶ εἰς τὸ δεκάχορδον.

χορδαῖς. παρὰ τὸ χέειν καὶ ἔχειν τὴν ἐδωδήν. ἢ παρὰ τὸ τὰ χορηγούμενα δεῖν ὅ ἐστι δεσμεύειν.

χορταῖος. ὁ δασὺς χιτών. ἐν ᾧ χορεύονται αἱ παρθένοι. αὐλῆς ἐν χόρτῳ. καὶ χόρτοι οἱ τειχοί ὡς Εὐριπίδης

ἐναντιώσει· συχορτάζω· ἐκ τοῦ
χόρτος· τοῦτο ἐκ τοῦ κόρτος· καὶ
γὰρ ἐκ τῆς γῆς χορτάζεται πᾶν
ζῶον.

Χόριον τὸ κάλυμμα. τὸ περιέχον
τὸ ἔμβρυον. τὸ συγγεννώμενον ἐν
τῇ κοιλίᾳ τοῖς βρέφοις χωρίον.
αὐτὸ ὂν τῶν διατρεφόντων. χό-
ριον τὸ ἔντερον τὸ συγγεννώμενον
ἐν τῇ κοιλίᾳ τοῖς βρέφοις τοῦ
τικτομένου.

Χολέρα. ἔκρυσις. διὰ σώματος καὶ
γαστρός.

Χορηγός. ὁ δότης. παρὰ τὸ χεὶρ
χειρὸς καὶ τὸ ἄγω γίνεται χορηγός.
καὶ τροπῇ τοῦ ε̄. εἰς ο̄. γίνεται
χορηγός ὁ διὰ χειρὸς ἄγων.

Χορὸν δὲ ὄνομα. ἐκ τοῦ χῶρος.
ἀπὸ τοῦ περιέχοντος τὸ περιε-
χόμενον. τὸ δὲ οὐ ἔστι μέρος λέ-
γουσιν. ἀλλὰ μόριον. λαμβάνεται
δὲ ἀντὶ τῆς ν̄ περιλήψεως.

Χόρτος. παρὰ τὸ ἐν τῷ χέρσῳ
τρέφεσθαι. ἢ παρὰ τὸ κείρω τὸ
κόπτω. κόρτος καὶ χόρτος.

Χορτάσαι παρὰ τὸν χόρτον τὸν παρεμβαλλόμενον τοῖς ὑποζυγίοις

Χορὸς· ἄθροισμα ὑπὸ τοῦ χῶρος. ὃ σημαίνει τὸν τόπον· ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. ἐκ τοῦ ὅσω χῶρος καὶ συστολῇ τοῦ ω· εἰς ο· καὶ καταβιβάσει τοῦ τόνου γίνεται χορὸς· ὁ λαὸς ὁ περιεχόμενος ὑπὸ τόπου· γίνεται δὲ ἐξ αὐτοῦ καὶ χορεῖος.

Χορὸς παρὰ τὸ χαίρω· χαρός. καὶ τροπῇ τοῦ α· εἰς ο χόρος. ἢ παρὰ τὸ χείρ· χειρός· τὸ χο μικρὸν διατί· πρὸς ἀντιδιαστολὴν τοῦ χῶρος· τοῦ σημαίνοντος τὸν τόπον· καὶ ὅμηρος·

χῶρον μὲν πρῶτον διεμέτρεον καὶ ὡς εἶδε χῶρον ἔρημον.

Χοχορέου· ὄνομα κύριον.

Χουσιον· ὄνομα κύριον

Χοῶν λυβιῶν· ἐκ τοῦ χοή· τοῦτο ἐκ τοῦ χέω· χοή· χοαί· χοῶν· τὰ ἐπιχεόμενα· οἱ γὰρ ἀρχαῖοι· ἅπερ κάλλιστα καὶ τιμιώτατα, ἐέραιρον

εἰς τοὺς νεκρούς. τιμῶντες αὐτούς.
Χοῦς. ὅ ἐστι χοεύς. τὸ μὲν μέγα. ξεστῶν
ὀκτώ. τὸ δὲ ἅγιον. ξεστῶν ἕξ. ὅ ἐστι
δωδεκαμετρητός.
Χραισμεῖν. ἐκ τοῦ χραισμῶ. τὸ
βοηθῶ. ὁ μέλλων δεύτερος ἀόριστος
ἔχραισμον. τὸ ὑποτακτικὸν ἐὰν
χραισμῶ. ἐὰν χραισμῇς. ἐὰν χραισ=
=μῇ. καὶ χραισμεῖν.
Χρεία. παρὰ τὸ χρέος. γέγονε
χρέα. καὶ ἐν πλεονασμῷ τοῦ ι.
χρεία.
Χρῆσθαι καὶ χρᾶσθαι. προσδέεσθαι.
δανείσασθαι. καὶ ἐπὶ τὰς χρειώδεις
καὶ ἀναγκαίας χρείας.
Χράσασθαι. πρᾶξαι. ἢ γαμῆσαι.
ἢ ἄλλο τι ποιῆσαι. ἢ ἀποκτεῖναι.
Χρηστήριον. σημαίνει δὲ μαντεῖον.
Χρήζω. τὸ χρησμοδοτῶ. ἤγουν μαν=
=τεύομαι. ἐπὶ ἐνικοῦ μόνου. καὶ
παρατατικοῦ οἷον ἔχρηζον. ἐπὶ
δὲ τῶν ἄλλων ἐστὶ διὰ τοῦ η.
τὸ δανείζω. ἐξ οὗ καὶ χρῆσθαι τὸ
δανείσασθαι. χρίω δὲ τὸ κεντρίζω.

χρῆ· ἀπό τοῦ χρῶ· χρᾶς· δευτέ-
ρας συζυγίας τῶν περισπωμένων.
εἶτα παράγωγον χρῆμι· χρῆς· χρῆ-
σι. καί κατά συγκοπήν τῆς σι συλλα-
βῆς χρή. διατί ὀξύνεται. πᾶσα
λέξις δισύλλαβος. ἐν χρήσει ἢ μὲν
ἀποκοπῆ τῆς ἀρχῆς. τὴν κατα-
λιμπανομένην συλλαβὴν περισπᾶ
εἰ δὲ ἀπό τέλους. ὀξύνει.

χρή· προσῆκον ἐστι καί πρέπον.
καί δεῖ· ὀξύνεται. χρῆ δὲ τό ὑποτακ-
τικόν περισπᾶται. /

χρὴν σὺν τῷ ν̄. καί περισπωμένως.
καί παρεληλυθός. τό ἔδει. καί ὁμη-
ρος· χρή· δεῖ γινώσκειν ὅτι τό χρή.
ἐστιν ἐνεστῶτος τῶν εἰς μι̅· τρίτου
προσώπου. ἑνικοῦ. ἐστι χρή.

χρή· ἐπίρρημα. ὁμοίως καί τό
δεῖ· ὅτι τά ἐπιρρήματα καί ἐπί-
κειται τοῖς ῥήμασι προτασσόμενα
καί ὑπόκειται. οἷον καλῶς ἀνα-
γινώσκει δίων. ἀναγινώσκει κα-
λῶς ὁ Δίων· τοιαῦτα δέ καί τά
προκείμενα ἐν συντάξει. μετά —

ἀπαρεμφάτων· οἷον Ἀπολλώνιον
χρὴ γράφειν· Ἀπολλώνιον δεῖ περι=
=πατεῖν· καὶ ἄλλως· καινὸν γάρ ἐστιν
ὃ λέγων· τὰ ἐν προσώποις ἀντωνυ=
=μικοῖς· κατὰ παρασχηματισμὸν ἐκ=
=φερόμενα, κατὰ τὸ τρίτου πρό=
=σωπον ἐπιρρήματα εἰσίν· οἷον
ἑλληνιστὶ λέγω ἐγώ· ἑλληνιστὶ λέ=
=γει ἐκεῖνος· ὁμοίως καὶ ἐμὲ δεῖ
γράφειν· ἐκεῖνον χρὴ γράφειν.
ἄρα ὅσω κατὰ τὴν τοιαύτην ἀπόδειξ=
=ιν ἐπίρρημα ἐστιν. ἕτεροι δὲ εἰσὶ
κανόνες. οἱ λέγοντες ταῦτα. μὴ
ἐπιρρήματα εἶναι. ἀλλὰ ῥήματα
δὲ εἰσίν. ἐπειδὴ ἴδιον ἐστι τῶν συγ=
=κειμένων. ῥημάτων τὸν χρόνον
διαστέλλειν. ἐνικὸς γὰρ χρόνος γί=
=νεται τὸ δεῖ καὶ τὸ χρή· οἷον χρὴ
γράφειν. δεῖ ἀναγινώσκειν· παρα=
=τατικὸς δὲ τὸ ἔδει γράφειν. καὶ
τὸ ἐχρῆν ἀναγινώσκειν προσελθόν=
=τος ἔξωθεν τοῦ ε. ὥσπερ ῥήματα ἴδιον
ἐστιν ἐπινοῆσαι ἐπίρρημα εἰς ε.

λόγου μονοσυλλάβου. κατὰ τὸ κοινὸν ἔθος. αἱ γὰρ τοιαῦται προφοραὶ ἐν δωριεῦσι. ῥημάτων ἴδιαι εἰσιν. οἷον χέει. χεῖ. ῥέει. ῥεῖ. πλέει. πλεῖ. ἕως ἐξ θείας πλεῖς. πνέει πνεῖ. ἄρα δῶ ῥῆμα ἐστὶ τὸ δεῖ καὶ χρῆ. ἕτερος κανὼν ἐστὶν ὁ λέγων. πᾶν ῥῆμα μακροκατάλη-κτον ἐπὶ τῆς μακρᾶς ἔχον τὸν τόνον περισπᾶται. νοῶ. χρυσῶ. σεσημείωται τὸ χρῆ. καὶ τὸ δεῖ. χρήζω. θέλω. ἐν οἷς καὶ τὴν γρα-φὴν ἔχει τὸ ι. καὶ χρηΐζω λέγε-ται κατὰ διάστασιν. εἴρηται δὲ πα-ρὰ τὸ χρεία. ὅπερ ἔχει τὴν ει δίφθογγον

Χρεΐζω. καὶ κατὰ ἔκτασιν τοῦ ε. εἰς η. χρηΐζω.

Χρήματα. τὸ πλῆθος τοῦ χρυσίου παρὰ τὸ χρῶ. χρήσω τὸ κτῶμαι σημαίνει. ἐξ οὗ ὁ μέσος ἐχρησάμην ἀντὶ ἔλαβον καὶ ἐκτησάμην χρή-ματα.

Χρῆσις. οὕτως ἡ παράδοσις. μαρτυρεῖ

δὲ Ἀλεξίων καὶ Φιλόξενος. παρὰ
τὸ χρείω. τὸ ἀλείφω. ὅτε δὲ δηλοῖ
τὸ μαντεύομαι. διὰ τῆς ει. διφθόγ
:γου γράφεται.

Χρειστός. παρὰ τὸ χρείω. τὸ ἀλεί
:φω. ὅτε γὰρ δηλοῖ τὸ μαντεύομαι
διὰ τῆς ει διφθόγγου γράφεται.

Χρειστὸς παρὰ τὸ χρείω τὸ ἀλείφω.
σημαίνει δὲ τὸ τοῦ καρείου ὄνομα.
χρείω. ὁ μέλλων χρείσω. κέχρεικα.
κέχρεισμαι. κέχρεισται. καὶ ἐκ τοῦ
:του χρειστός.

τὸ χρει. ῑ. διατί. τὰ εἰς στος εἴτε
ἁπλᾶ. εἴτε σύνθετα. διὰ τοῦ ῑ
γράφονται. οἷον πιστός. ἰστός. οἰστός.
ὀξύνονται. τὰ εἰς στος λήγοντα
ὀνόματα. ἔχοντα πρὸ τοῦ τ̄ τὸ
σ̄. εἰ παρασχηματίζωνται εἰς διά
:φορα γένη. εἰ μὴ ὑπερθετικὰ
εἶεν. ὀξύνονται. οἷον πιστός. πλυτός.
ξυστός. μεστός. σχιστός. φραστός. κτιστός.
διστός. χρειστός. πρόσκειται ὑπερθε
:τικά. διὰ τὸ πλεῖστος. λῷστος. ῥᾷστος.

χρυσὸς ἀγαθός· τὸ χρυ· π· ἀπὸ

γαρ· τοῦ χρῶ· χρᾶς· χρᾶ· γίνεται

χρυσός· ὁ ἀγαθός· καὶ ὁ δανειζό-

-μενος.

Χρίσμα· διὰ τοῦ ῑ· ἀπὸ τῆς τοῦ

ἐλαίου χρίσεως.

Χρησμοδοσία· ἐκ τοῦ χρησμός· καὶ

τοῦ δόσις· χρησμῳδία δὲ ἐκ τοῦ

χρησμῳδῶ· τοῦτο ἐκ τοῦ χρησμός·

καὶ τοῦ ᾠδή· γίνεται χρησμοδο-

-σία.

Χρῆμα κυρίως τὸ διὰ χειρὸς ἔργον.

οἷον χείρημα.

Χρῆμα πρᾶγμα· πλοῦτος οὐσία

λῆμμα.

Χρόα· παρὰ τὸ χρῶ τὸ βάπτω· ἐξ

οὗ καὶ χρῶμα κατὰ παραγωγήν.

χρυσάμπυκος· ζήτει τὶς τὸ ἄμπυξ.

χρυσοχαλίνους ἀπὸ μέρους. ἢ χρυσο-

-βόλους· κυρίως δὲ ἄμπυξ καλεῖται.

σειρὰ κατάχρυσος. ἢ ἀπὸ τοῦ μετώ-

-που τεινομένη. ἢ σφενδοῦνται αἱ

τρίχες.

Χρύσεος· ἀποβάλλει τὸ ῑ· τῆς ει
διφθόγγου· τὰ διὰ τοῦ ειος κτητικὰ
ὑπὲρ δύο συλλαβὰς οἱ Αἰολεῖς διὰ
τοῦ εος προφέρουσιν· οἷον φλόγειος
φλόγεος· διδύρειος διδύρεος· ποίας
διαφορᾶς τῶν κτητικῶν· καὶ πόσαι
διαφοραὶ τῶν κτητικῶν· τρεῖς·
οἰκειωτική· ὑπερεμφαντική· μετου:
:σιαστική· οἰκειωτική ἐστιν· ὡς τὸ
πόντος· θαλάσσιος· ὑπερεμφαντική·
ὡς τὸ φιλοσοφικός· ῥητορικός·
μετουσιαστική δὲ ὡς τὸ Αἰάντειος
ἑκτόρειος·

Χρυσέω· χρυσός· ἐκ τοῦ ῥύω· ῥυσός·
καὶ χρυσός· ῥυόμενος ἄνθρωπον
ἐκ θανάτου· ἢ ἐκ τοῦ ῥέω·

Χρυσίτης λίθος· ἔνθα ἀκούωσι τὸ
χρυσίον· τὸ σι· ῑ· διατί· τὰ ἀπὸ
τῶν εις ος διὰ τοῦ ιτης γινόμενα
ὀνόματα, διὰ τοῦ ῑ· γράφονται·
οἷον στῦλος· στυλίτης· μῆρος· μηρίτης·

Χρυσολάχανον· ὡς ἀναγκαῖον καὶ χρή:
:σιμον τῇ βρώσει·

Χρυσοχόον· διὰ τὸ χρυσὸν χωνεύειν· ἐν

χονκοτηρίω.

χρῶ. εἰς τὸ ἐν χρῷ. καὶ ζαχρειός. καὶ κιχρειός καὶ κιχρῶ. καὶ πίπτω. καὶ χρόα.

χωσαμένη. ἐκ τοῦ χώω. παρὰ τὸ χῶ. τὸ ὀργίζομαι. ὅπερ γέγονεν ἀπὸ τοῦ χέω. χῶ. ἢ παρὰ τὸ διακεῖσθαι τὴν χολήν. χῶ. οἷον χώσω. καὶ ἡ μετοχὴ χοόμενος. χούμενος. καὶ δωρικῶς χώμενος καὶ πλεον ασμῷ τοῦ ο χωόμενος. ὡς τὸ

χωόμενος δ' ὅ γέρων πάλιν ᾤχετο.

χρώζω. σημαίνει τὸ πλησιάζω. γίνεται δὲ παρὰ τὸ χρὼς χρωτός. χρωτίζω. καὶ μετὰ ἀνεκφωνήτου ι. χρώζω.

## τὸ χ μετὰ τοῦ υ.

χύτρα. παρὰ τὴν χύσιν.

χυτλῶσαι. τὸ λουσαμένον ἀλεῖψαι

χύτλος γὰρ τὸ ἔλαιον.

χύθρα. πινάκια.

χύλος παρὰ τὴν χύσιν.

χυμὸς δὲ ἀμφω ὑγρά.

τὸ χ̄. μετὰ τοῦ ω̄.

Χω. χωννύω. μέλλοντα οὐκ ἔχει. ποιεῖ δὲ τὸ παράγωγον εἰς μαρτυρίαν. καὶ ἄχει τοῦ παρατατικοῦ κλίνεται.

Χω. σημαίνει πέντε. χω. τὸ χαίρω. χω. τὸ χωρῶ. χω τὸ ὑπάρχω. χω. τὸ ὑποχωρῶ. χω. τὸ ὀργίζομαι.

τὸ χς. ὄνομα. σημαίνει πέντε. τὸ θς μόνος. ὡς τὸ χς. ἐξ οὐρανῶν. τὸ ἄνος. ὡς τὸ χς. γεννᾶται. τὸ βασιλεύς. ὡς τὸ χς ἐβασίλευσε τῆς ἁμαρτίας. καὶ τὸ ἱερεύς. ἐπεὶ ἔθυσεν ἑαυτὸν ὑπὲρ ἡμῶν.

τὸ χρω. σημαίνει τέσσαρα. τὸ ἀλείφω. καὶ ἐπεκτάσει τοῦ ι. χρίω χρω. τὸ μαντεύω. καὶ πλεονασμῷ τῆς ει διφθόγγου χρείω. χρω τὸ κτῶμαι. ἐξ οὗ καὶ χρῆμα. καὶ χρω τὸ βάπτω. ἐξ οὗ καὶ χρῶμα.

Χω. εἰς τὸ ἆσθμα. καὶ ἀχνύμενος καὶ ἄχος. καὶ κεχαρσίατο. καὶ κήδω.

καὶ κόμη. καὶ χέρα. καὶ χιδὼν. καὶ χωνευτήριον. καὶ χωδάμενος.

Χωεὶς. παρὰ τὸ χωρέδω. εἶτα ἀποβολῇ τοῦ ω. τὸ ἐπίρρημα ἐγένετο.

Χωλός. τὸ χω μέγα. διατί ἐκ τοῦ κῶλον. ὃ σημαίνει τὸ ὀστοῦν βεβλαμμένον ἔχων. καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασύ. καὶ μεταβάσει τοῦ τόνου γίνεται χωλός. καὶ τί διαφέρει χῶλος καὶ χωλός. χῶλος βαρυτόνως ἡ πόλις. καὶ ὁ θυμὸς τοῦ βασιλέως. χωλὸς δὲ ὀξυτόνως. ὁ βεβλαμμένος τὸ ὀστοῦν.

τὸ χω μέγα. διατί ἐκ τοῦ κῶλος. καὶ ἐκεῖνο διατί. τὰ μέσα δύο ἀμεταβόλων. ἢ μέσα δύο συμφώνων.

Χωνευτήριον. παρὰ τὸ χω τὸ σημαῖνον τὸ χωρῶ. ἐκ τούτου γίνεται χῶνος. καὶ χώνιον τὸ χωρητικόν. καὶ ἐκ τοῦ χῶνος χωνεύω. καὶ ἐξ αὐτοῦ χωνευτής. καὶ ἐκ τούτου χωνευτήριον.

χώρα· παρά τό χῶ· τό χωρῶ.
χωόμενος· χῶ τό ὀργίζομαι· χώομαι
ἡ μετοχή χωόμενος.
χωρίον· ἐν ᾧ κατοικοῦσιν οἱ ἄνθρω-
ποι· χόριον δέ τό ἔλυτρον· τό κά-
λυμμα τό συγγεννώμενον ἐν τῇ κοιλίᾳ
τοῖς βρέφεσιν· ἢ τό ἐκ τοῦ ἐμβρύου
τοῦ τικτομένου· ἐκ τοῦ χέω.
χαμᾶζε· ἐπίρρημα· παρά τό χέω.
χαμᾶζε.
χαμάδις· ἐπίρρημα τοπικόν· ἐκ
τοῦ χαμαί.
χωρῆσαι· τό δέξασθαι· χωρῆσαι
τό διαμεῖψαι.
χωσάμενος ἐκ τοῦ χώω· τό δέ χώω
παρά τό χῶ· τό ὀργίζομαι· ὅπερ
γέγονεν ἀπό τοῦ χέω χῶ· διά τό
χεῖσθαι τήν χολήν.
χῶ ὅθεν χώσω· καί ἡ μετοχή πα-
θητική· χοόμενος χοούμενος· καί
δωρικῶς· χώμενος· ὡς κυσσαμῶσα.
καί πλεονασμῷ τοῦ ο χοώμενος.
ἢ παρά τό χολῶ· χολώσω· χολούμενος.

καὶ ἐκβολῇ τοῦ λ̄ χοούμενος. καὶ τροπῇ ~~τῆ~~ τῆς ου διφθόγγου εἰς ω̄. χωόμενος. ἢ παρὰ τὸ χῶ. καὶ ὑπερβιβασμῷ τοῦ τόνου. ὡς ὄρω· ὄρωρε. σημαίνει δὲ τὸ λυπῶ. καὶ ὀργίζομαι.

χειροβοσκός· ὁ διὰ τῶν χειρῶν βοσκόμενος. ἤγουν τρεφόμενος. χοιροβοσκὸς δὲ ὁ τῶν χοίρων νομεύς.

## Ἀρχὴ τοῦ ψ στοιχείου

τὸ ψ. μετὰ τοῦ α.

ψαιστόν. εἶδος πλακοῦντος. ὁ δι' ἀλφίτων παρασκευάζεται. τοῦ ψαῖσαι καὶ ψώχεσθαι. ὅθεν καὶ ψωμοὶ καὶ ψίχες. τὰ μικρὰ θρύμματα.

ψάλλειν ἐπὶ τῶν χορδῶν. παρὰ τὸ ψῶ. ὃ παράγωγον ψαύω. καὶ ψάλλω. παρὰ τὸ διὰ δακτύλων ἐπιψαῦσαι αὐτῶν. οὕτως ἡρωδιανός.

ψαυκροπόδα. ἐπίθετον τοῦ Ἀρείωνος ἵππου. εἴρηται διὰ τὴν ταχύτητα καὶ κουφότητα. παρὰ τὸ ψαύειν ἄκροις ποσὶ τῆς γῆς κατὰ τὸν δρόμον.

ψαιδρόν τὸ φαιδρὸν κύπριοι.

ψαλμῳδία ψάλλειν μετ' ᾠδῆς.

ψαλίδιον. ὅτι δύο ψέλια ἐν ἑνί.

ψαλτήριον παρὰ τὸ ψαλλόμενα τηρεῖν. τὸ τη. η διατί. παρὰ

τὸ ὀρῶ τὸ φυλάττω. καὶ πλεονασ-
μῷ τοῦ π̄. καὶ τοῦ μακροῦ εἰς
μακρόν. ἢ ψαλτήριον παρὰ τὸ
τοὺς ψαλμοὺς τηρεῖν. ἤγουν φυλάττειν.
ψάμμος. διὰ τὸ εἶναι αὐτὴν ψιλὴν καὶ
ἄμικτον. καὶ ἀδύνατον. μετὰ δὲ ἀλ-
λης ὕλης μίγνυσθαι καὶ κρατεῖσθαι.
ψάμμος ὡς ψιλὸν ἄμμα εἶναι.

τὸ ψ̄. μετὰ τοῦ ε̄

ψεδνὸς μαδαρός. ἀραιόθριξ. παρὰ τὸ
ἐψῆσθαι. ὅ ἐστιν ἀποβάλλειν τὴν τρί-
χα.
ψεδνή. ὀλίγη. καὶ ὅμηρος.
ψεδνὴ δ᾽ ἐπενήνοθε—
μαδαρὰ ἔθει. ἐκ τοῦ ψῶ τοῦ σημαί-
νοντος τὸ ἀπό τινος μείζονος οὐ-
σίας. εἰς ἐλάχιστον καὶ μικρὸν μέρος
καθιστάμενον. γίνεται ὁ μέλλων ψή-
σω. ῥηματικὸν ὄνομα ψηνός. καὶ
πλεονασμῷ τοῦ συμφώνου γίνεται
ψεδνός. ὁ γὰρ πλεονασμὸς τοῦ
συμφώνου τὴν φύσει μακρὰν μετα-
βάλλει εἰς θέσει. ὡς πένης. πενιχρός.

καὶ μῆκος· μικρός· σημαίνει δὲ ψεδνὸν
τὸ φαλακρόν.

ψεῦδος· παρὰ τὸ φεύγω· φεῦγος· καὶ
ψεῦδος· ἢ παρὰ τὸ φείδω· φεῖδος·
καὶ ψεῦδος· τοῦ ψεύδους πάντες
φειδόμεθα.

ψευδέσιν· οὐ γὰρ ἐπὶ ψεύδεσι· πατὴρ
Ζεύς. Ἀρίσταρχος· ψευδέεσιν· ὡς βαρέσι,
δηλοῖ· οὐ γὰρ τοῖς ψεύσταις Τρωσὶ
βοηθεῖ ὁ Ζεύς. εἰ δὲ τὸ πράγματα πα-
ραλαβεῖν ψευδέσιν ἀνέγνωμεν ἂν
ὡς βέλεσιν· ἵνα ἀπ' εὐθείας ᾖ τὸ
ψεῦδος· ἐπειδὴ οὐδέποτε φῇ. οἶδεν
ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδής. ἐν
συνθέσει φιλοψευδής. καὶ μᾶλλον
πιστὸν Ἀρισάρχῳ.

ψάμμα τὸ ὀλίγον. καὶ ψαῖσμα τὸ
ὀλιγόσιτον

ψαινάλιον τὸ ψευδὲς καὶ μάταιον.

ψαίννυον τὸ ἄχρηστον.

ψιλός· ὁ μαδαρός· καὶ φαλακρὸς πα-
ρὰ τὸ ἐψῆφθαι. ὁ δὲ Ἡρωδιανὸς
δηλοῖ τὸ ψῶ· τὸ εἰς ἐλάχιστον καὶ
μικρὸν ἔκ τινος οὐσίας μέρος —

καθισάμενον.

ψαλμός. ἐστιν ἀλεξιτήριον πάθους ἀντικειμένης ἐνεργείας ἢ ᾠδὴ θεῷ προσφιλής.

ψαλμός ἐστι εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι συνωνύμου.

ψαλμός. ὕμνος. ᾠδή. αἶνος. ᾆσμα.

ψευδοπαιδεῖα. εἰ μὲν παρὰ τὴν παίδευσιν λέγεται. ψευδοπαιδεία. εἰ δὲ παρὰ τὸ παῖς παιδὸς λέγεται. ψευδοπαιδία ι.

## τὸ Ψ. μετὰ τοῦ Η.

ψηλαφῶ. ἀπὸ τοῦ ψῶ. τὸ προσεγγίζω. ὁ μέλλων ψήσω. ἀποβολῇ τοῦ σ ψής. καὶ τοῦ ἀφῶ. ὃ σημαίνει τὸ ψηλαφῶ. γίνεται ψηαφῶ. καὶ πλεονασμῷ τοῦ λ ψηλαφῶ. τὸ δὲ ἀφῶ. παρὰ τὸ ἀφή. ὃ σημαίνει τὴν χεῖρα. ψηλαφῶ γὰρ λέγεται τὸ ταῖς χερσὶ κρατῶ.

ψηλαφόωσι. παρὰ τὸ μῆλον μηλαφῶ. ἔτως εὗρον ἐν ὑπομνήσει πεζῶν.

ψηφίς· ὁ μικρὸς λίθος. τὸ φὶς π.
ὁ κανών· τὰ εἰς ις δισύλλαβα
τῷ π παραλήγεται. οἷον· κνηπίς.
κνημίς.
ψῆφος· κρίσις. ἀπόφασις. δόγμα.
ἀριθμὸς καὶ χειροτονία.
ψῆφος· παρὰ τὸ ψῶ τὸ προσκνη-
τίζω· καὶ εἰς τὸ βαλβίς.

τὸ ψ. μετὰ τοῦ ι.

ψιάδες· ψακάδες τινὲς ὄμβρου.
παρὰ τὴν ψαῦσιν ψεκάδες. καὶ ψιά-
δες. καὶ ἀποβολῇ καὶ μεταθέσει.
Ἡρωδιανός. ὁ δὲ Φιλόξενος. ὅτι ψῶ
ἐστι ῥῆμα. ὅθεν καὶ τὸ καταψᾶν.
καὶ παράγωγον ψαύω. καὶ ψίω.
ἀφ' οὗ ψιάς. ἢ κατὰ λεπτὸν τοῦ
ὕδατος ἔκδυσις. ὡς λάμπω λαμ-
πάς. ἴλλω. ἰλλάς.
ψιλαβία. οὐκ ἐθέλει. τὸ γὰρ ψίω
καὶ τὸ ἐλαττῶ. οἱ δὲ παρὰ τὸ
ψίθω. τὸ ποτίθω.
ψιθυρίζω· παρὰ τὸ ψῶ. τὸ λεπ-
τύνω. καὶ τὸ θρέω. ὁ τῇ φωνῇ
λεπτολογῶν.

ψιλός· μόνος· μικρός· γυμνός μη-
δὲν ἔχων.

ψηφίζειν· τῇ μὲν τὸ θαρρεῖν ση-
μαίνει· τῇ δὲ τὸ ἐρωτᾶν. οὕτως ἐ-
χρῆτο παρὰ τῷ Δημοσθένει. καὶ
ὁ ταῦτα ἀποψηφίζων ἐπιστάτης.
ἀντὶ τοῦ ἐρωτῶν.

ψυλαφῶ. δῆλον τὸ σημαινόμενον.
ἡ μεταφορὰ τῆς λέξεως ἀπὸ τῶν
μήλων. μῆλα δὲ τὰ πρόβατα.
μηλαφῶ οὖν τὸ τῶν μήλων ἐφάπ-
τομαι. καὶ τροπῇ τοῦ μ̄ εἰς
ψ̄. ψυλαφῶ.

ψίθυρ. λέγεται καὶ ψίθυρος. οἷον
ψίθυρ. ψίθυρος. καὶ ψιθύρου. ὡς
μάρτυς. μάρτυρος. μαρτύρου. τὸ
δὲ ψίθυρ. παρὰ τὸ ψίθος. ἢ πα-
ρὰ τὸ ψίω. τὸ λεπτύνω. καὶ τοῦ
θύρα. σημαίνει δὲ τὰ χείλη.

ψιθυρίζειν τινὲς ὀνοματοποιεῖσθαι
φασίν. ὡς τὸ κρίκε δὲ ζυγόν.
καὶ τὸ σίζε. ὅθεν κυρίως ἐπὶ
τῶν ψευδομένων τὸ ψιθυρίζειν λαμ-
βάνουσιν. ἐγκειμένου τοῦ ψίθους.

Καλλίμαχος. β.

σκύλαν κτ- κουσαι

καὶ ὁ ψύθος ὄνομα ἤχησα.

ψιθυρίζω. παρὰ τὸ ψῶ. ὁ σημαίνει τὸ προσεγγίζω. γίνεται ψίω. καὶ ἐκ τούτου γίνεται ψίθυρος. καὶ ψι:θυρίζω. ψίθυρος λέγεται. ὁ ἔξω τῶν θυρῶν. μικρὰ κατὰ τοῦ πλη:σίον διαλεγόμενος πρός τινα. τὸ δὲ θύρα. παρὰ τὸ θύω. τὸ ὁρμῶ.

ψιθυρίζων. ὁ τρίζων. ἢ λεπτολογῶν.

ψιθυρισμὸς λέγεται. ἡ λεπτὴ φωνή. ἐκ τοῦ ψιθυρίζω. τοῦτο ἐκ τοῦ ψίω. τὸ λεπτύνω. καὶ τοῦ θύρα. ὁ σημαίνει περιφραστικῶς. τὰ χείλη.

ψιθύρισμα.

ἄστυ τι τὸ ψιθύρισμα β

τῶν δένδρων ἠκούετο. πεποιημένη λέξις ἀπὸ τοῦ ἀποτελουμένου ἤχου ἀποσφυσῶντος τοῦ ἀνέμου.

ψιλή. διὰ τοῦ ῑ. ἀπ' ἄκρας γὰρ τῆς γλώττης. παρὰ τὸ ψῶ. τὸ-

προσεγγίζω. καὶ τὸ ἄκροις δὲ τοῖς
χείλεσι τετμημένον ψιλὸν καλεῖται.
ψιλὸς ὁμοίως. παρὰ τὸ ψῶ τὸ
προσεγγίζω ψολός. ψῶ. τὸ καίω. ἐξ
οὗ καὶ γυμνὸν καλοῦμεν τὸν ἄοπλον.
ψιλὴν ἄρουσιν. ἀροτριασίμην. καὶ
σπορίμην τὴν ἄδενδρον χώραν.
τὴν πρὸς τὸ σπείρεσθαι. καὶ ἀ-
ροῦσθαι ἐπιτηδείαν.
ψιλὸς. παρὰ τὸ ψῶ τὸ σημαί-
νον τὸ λεπτύνω. καὶ ἐκ τούτου
ψιλὸς ὁ ἀσθενὴς καὶ γυμνός.
ψινύσσω. τὸ ξύω. ἐξ οὗ μέλλων
ψινύξω. καὶ ψέδω τὸ λυπῶ καὶ
ψελοπεῖν ἄνω—
ψιμύθιος. ὁ τῶν ὄψεων τῶν
γυναικῶν γίνεται λευκασμός. ἐκ
τῆς ἀναθυμιάσεως τοῦ ὄξους πρὸς
τὸν μόλυβδον γινόμενον. ἀλλὰ καὶ
ὄνομα ποτὲ ἐν Σικελίᾳ. ὁ λεγό-
μενος ψίμυθος.
ψιχίον. ἐκ τοῦ ψίχω. τὸ λεπτύνω.
ψίσαι. ἡ παράδοσις δὲ τὸ ψωμί-
σαι. καὶ βραχὺ θρέψαι.

ψίων σημαίνει δὲ ἐλάττονα τινὰ οὐσίαν.

ψῖ· ὅτι συρισμὸν φέρει. αὐτοῦ ἡ ἐκφώνησις. ὅστις συρισμός ἐστί, ἔστι τι ἢ μόνον. ἄλλοι δέ· ὅτι ἑνὸς ψαύει χρόνου ἄδειαν διπλοῦ

τὸ ψ. μετὰ τοῦ ῡ

ψύλλα· θηλυκόν· ἐθεῖσο δὲ φθεὶρ ἀρσενικόν.

ψύλλαι· ὄνομα ἔθνους.

ψίω· διὰ τοῦ ῑ γράφεται. καὶ ἡ τεχνικὴ ἡ παράδοσις. εἰ γὰρ ἐπι: ψύσει ἀπαντ(ᾶ) εἰ μὴ κίνησις.

ψιλή· ἀπ' ἄκρας γὰρ τῆς γλώττης προσφέρεται. ἡ πρὸς τὴν δασεῖαν, ἥτις ἀπὸ τοῦ σεσῦσθαι εἴρηται. καὶ τῆς σα ἐπιτάσεως. ἀέρος γὰρ πν(εῦμ)α ἡ δασεῖα ἔχει.

ψύα. ὁ τοῦ ἀνθρώπου νῶτος.

ψύλλη. ἡ βοτάνη.

ψόγον ἐκ τοῦ ψέξειν. ἢ ψέξαι. τοῦ: :τέστιν καταράσασθαι, ἢ μέμψασθαι.

ψόγος. ἐκ τοῦ ψῶ καὶ τοῦ γῶ εὔκαλος

ψόφος. ὁ κτύπος. καὶ ἡ ὤθησις τῶν
κτηνῶν.

ψύα. ἡ σάρξ. ἡ ἐπὶ πολὺ οὖσα τοῖς ὀστέοις ψύη. οὕτω διὰ τοῦ ῡ. ἀπὸ τοῦ ψαύω. παροξύνεται. ἡ ἐπὶ πολὺ σάρξ οὖσα τοῖς ὀστέοις.

ψύα. ἀπὸ τοῦ ξύω. γίνεται ξύα καὶ ψύα. καὶ ἀντίστρεψιν ἣν εὐχρέως κινῆσαι οὐ δυνάμεθα. ἢ παρὰ τὸ ὀπίσω. καὶ συγκοπῇ καὶ κράσει ψύη. ἣ εὐχρέως κινῆσαι οὐ δυνάμεθα.

ψυχή. παρὰ τὸ ψύχω. τὸ ἀναπνέω.

ψυχή. παρὰ τὸ ψύχος. ὅ ἐστι πνεῦμα. ὅμηρος.

ψυχρὸς ἠμπνείονται.

ἀντὶ τοῦ πνεύματος. ὅθεν ἐκεῖτο ἐκ πνευχ ἐν τῷ ὑπερώω. ἐν ἰλιάδι φησί. ἡ μάλα ψαύουσα. ἀντὶ τοῦ φάσασα. πνεῦμα καὶ ἡ ψυχή. ἢ τὸ πνεῦμα ἡμῖν παρέχουσα.

ψυχὴ διὰ τὸ ἐμψυχεῖν καὶ ζωογονεῖν τὸν νεκρὸν λέγεται.

ψυχή. παρὰ τὸ φύω. φύσω. φυσική

καὶ ψυχή. κατὰ τροπήν. ἀντιστοι-
:χεῖ γὰρ τὰ δασέα τοῖς ψιλοῖς. οἷον
φυσικὴ οὖσα ἡ ψυχή.
ψυχὴ διὰ τὸ πνεῖν. πόσα σημαίνει.
πέντε. τὴν τοῦ σώματος κίνησιν.
τὸ ζωτικόν. τὸ λογικόν. τὴν πνοήν.
τὸ αἷμα. καὶ τὸ λίπος.

## Τὸ ψ. μετὰ τοῦ ω̄

ψωλή. παρὰ τὸ ἐμφυσᾶσθαι κατὰ
τὴν ὄρεξιν τῶν ἀφροδισίων. διὸ
καὶ φυσώδης τὸ μόριον. καὶ φύσημα φυ-
:σῶδές ἐστιν. ἤτω σωρανός. ἢ παρὰ
τὸ φυσῶ. φυσωλή τις οὖσα.
ψυχολέτηρα ἐκ τοῦ ψυχή. καὶ τοῦ
ὀλῶ. τὸ ἀπολῶ.
ψῶ. εἰς τὸ ζαχρείης καὶ τιμή. καὶ
ψωδνή. καὶ ψηλαφῶ. καὶ ψῆφος.
καὶ ψιθυρίζω. καὶ ψιλός. καὶ ψωμός.
ψωμός. παρὰ τὸ ψῶ. ὃ σημαίνει
τὸ λεπτύνω.
Τὸ ψω μέγα τὰ εἰς μος καθαρὰ
δισύλλαβα ἀρσενικὰ ὀξύτονα μή

διαφόρεως. διὰ τοῦ ω μεγάλου γρά-
:φονται. οἷον βωμός. ζωμός. ψωμός.
μὴ διαφορούμενα. εἴπερ διὰ τὸ τόμος
καὶ τομός.

ψωμός. ἀπὸ τοῦ ψῶ τοῦ σημαίνοντος
τὸ κόπτω εἰς μικρόν. καὶ γίνε-
:ται ψωμός. ὥσπερ παρὰ τὸ ζῶ,
ζωμός. τὸ δὲ ψῶ πρώτη συζυγία
ἐστί. ψῶ. ψῇς. ψήθω. καὶ ἐκ τούτου
ψωμίζω.

ψωμός. ἄρτος. παρὰ τὸ ψύχεσθαι
ὑπὸ τῶν ὀδόντων ὅ ἐστι τρίβεσθαι.
ψῶ. σημαίνει πέντε. ψῶ τὸ κόπτω.
εἰς πολλά. ἐξ οὗ καὶ ψωμός. ψῶ τὸ
προσεγγίζω. ἐξ οὗ καὶ ψώρα. ψῶ
τὸ λεπτύνω. ἐξ οὗ καὶ ψιλὸν στρατι-
:ώτην λέγομεν τὸν ἄοπλον καὶ γυμ-
:νόν. ψῶ. τὸ ψαύω. ἐξ οὗ καὶ
ψῦσα. καὶ ψῶ. ψύω. τὸ ἐμβρωμα-
:τίζω.

ψώρα παρὰ τὸ ψῶ. τὸ προσεγγί-
:ζω γίνεται. καθάπερ λέπρα.

## Ἀρχὴ τοῦ ω στοιχείου

### τὸ ω μετὰ τοῦ α

ὦαν. παρὰ τὸ ὦς. ὅπερ ἀπὸ τοῦ οἶς. ἀπὸ γοῦν τοῦ οἶς τὸ κτητικόν. τὸ θηλυκόν. οἰκία. καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν τοῦ ο. εἰς ω. ὦα. τὸ δὲ οἶς παρὰ τὸ οἴω. τὸ κομίζω.

ὦα. παρὰ τὸ οἶς. ὃ σημαίνει τὸ πρόβατον. καὶ γίνεται οἴα. καὶ κατὰ συναίρεσιν οἶα. καὶ κατ' ἐπαύξησιν τῆς οι. εἰς ω. τὸ α μακρόν. τὰ γὰρ εἰς α λήγοντα θηλυκὰ τῷ ω παραληγόμενα ἐκτείνουσι τὸ α οἷον ἕωα. ἡ ἀνατολή. ὑπερῶα. ὑπερῷα. οὕτως οὖν καὶ ὦα.

ὦαν λέγομεν. τὴν ἐργασίαν τὴν εἰς τὸ ἄκρον τοῦ ἱματίου οὖσαν. τὸ περιστόμιον.

τὸ ω̄ μετὰ τοῦ δ̄.

ὧδε· σημαίνει δύο· παρὰ τῷ ποιητῇ· οὕτως.

ὧδε δέ τις εἴπεσκεν —

σημαίνει δὲ καὶ τὸ νῦν εὐφραίνοντα κιχήσομαι. ὡς νῦν περ ὧδε. ὧδε· ἐπίρρημα τοπικόν· ἐστιν ἄρθρον· καὶ ἐκτάσει τοῦ δε· γίνεται ὅδε· ἀντὶ τοῦ οὗτος· καὶ αὐξήσει τοῦ ο̄ εἰς ω̄· ὧδε· ἔστι δὲ ἐπίρρημα ἀντὶ τοῦ οὕτως. ᾠδή ἐστιν ἐπινίκιος κατ' ἐχθρῶν. καὶ ὁ ῥυθμὸς ἢ χαριστήρια· ἢ φωνὴ ἐμμελὴς μετ' ἐργασίας. ἢ χωρὶς ἐνηχήσεως· ἔργα· ἢ θεολογία· εἰς θεόν. ἔστι δὲ συνώνυμον.

ὦ εἴρηται παρὰ τὸ ἔω. ὃ σημαίνει τὸ ὑπάρχω. ἐπειδὴ δὲ τοῦτο ὑπάρχει μακρὸν καὶ πλατὺ χαρακτῆρα ἔχον· διὰ τοῦτο ὁμοίως τῷ χαρακτῆρι τὴν ἐκφώνησιν ἀπηνέγκατο.

ᾠδή. ἀπὸ τοῦ ἀοιδή. τοῦ ᾱ. καὶ ō εἰς ω̄ ἐκταθέντος. γέγονεν ᾠδή. ἢ παρὰ τὸ εἴδω τὸ γινώσκω. καὶ κρᾶσις τοῦ ᾱ. καὶ ε̄. εἰς ᾱ μακρόν. ᾄδω. καὶ τοῦ μακροῦ εἰς μακρὸν ᾠδή. καὶ εἰς τὸ ἄειδε.

ᾠδεῖον. τὸ μουσεῖον. ἐν ᾧ ᾄδουσι καὶ διδάσκουσι τὰς ᾠδάς.

ὠδίς. ἡ γέννησις ἢ πόνος. παρὰ τὸ ὤθω. ὠθίζω. ὠθίς. καὶ ὠδίς ὠθήτις. οὖσα. δι' ἧς ὠθεῖται τὸ βρέφος.

ᾠδή καὶ ἐπῳδή. διαφέρει. ᾠδή ὁ ὕμνος. ἐπῳδή. ἡ μαντεία.

ὠδίς. ἡ γέννησις. ἡ αὐθαία ὠδίς. καὶ ὠδίν.

## τὸ ω̄. μετὰ τοῦ η̄.

ὤη. ἔπος θρηνητικόν. ἐπίρρημα καὶ ὀτοτοῖ. ἔστιν ὦ κλητικὸν ἐπίρρημα. ὧ σχετλιαστικὸν ἐρωτηματικὸν καὶ πλεονασμῷ τοῦ η̄. ὤη.

ὠήθω· τὸ ὑπέλαβον· παρὰ τὸ οἴω· οἰήσω· καὶ ᾤετο.

τὸ ω̄ μετὰ τοῦ κ̄

ὦκα. εὐθέως. ταχέως. σπουδαίως. ἐκ τοῦ ὠκέως. κατὰ συγκοπήν.

ὦκα. διατί βαρύνεται. ἐπειδὴ τὰ ἀπὸ πληθυντικοῦ οὐδετέρου μεταγόμενα. εἰς ἐπιρρηματικὴν σύνταξιν. ἅπαντα βαρύνεται. οἷον ταχέα. τάχα.

τάχα γάρ με κατακτανέουσιν Ἀχαιοί.

σαφέα. σάφα.

σάφα δ' οὐκ οἶδ' εἰ θεός ἐστιν —

ὠκέα. ὦκα.

ὦκα κεν πεδίω διωκομένη φέβεσθαι.

πλὴν τοῦ θαμά. θαμὰ ἐβάζετο. τὸ δὲ ὠκέα ἐκ τοῦ ὠκύς. τοῦτο παρὰ τὸ ἀκή. ὃ σημαίνει τὴν ὀξύτητα. καὶ τὸ οὐδέτερον ἀκή. ἀκέα. ἄκα. καὶ μεταθέσει τοῦ ᾱ. εἰς ω̄.

ἦκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον.

ἀντὶ τοῦ μετ' ἡσυχίας. ἠρέμα. τρέ:
:πεται δὲ τὸ ᾱ. εἰς ω̄. ὥσπερ
ἐστὶ φάρος. καὶ σημαίνει τὸ ἱμά:
:τιον. ἐξ αὐτοῦ δὲ φαριαμός
καὶ φωριαμός. οὕτω καὶ ἦκα.
τρέπεται τὸ ᾱ. εἰς ω̄. καὶ γίνε:
:ται. ὦκα. ἐκ δὲ τοῦ ὠκὺς καὶ τοῦ
μόρος. γίνεται ὠκύμορος. διατί.
ἀπέβαλε τὸ σ̄ ἐν τῇ συνθέσει.
τὰ εἰς ῡς ἐν τῇ συνθέσει ἀποβάλ:
:λουσι τὸ σ̄. καὶ φυλάττουσι τὸ ῡ.
οἷον ὀξύδρομος: ὀξυθάνατος. ὀξύ:
:γραφος. ὠκύμορος. πλὴν τοῦ ἥμι:
:συς. τοῦτο γὰρ ἐν τῇ συνθέσει
ἀποβάλλει τὴν σῡ. συλλαβήν. οἷον
ἡμικύκλιον. ἡμίονος. ἡμίφωνον.
ἔστι δὲ τὸ ὦκα ἐπίρρημα μεσότη:
:τος. ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε.
ὠκεανός. παρὰ τὸ ὠκὺς. καὶ τὸ
ἀνύω. ὁ ταχέως φέρων. ἢ παρὰ
τὸ ὠκέως νέειν. ὅ ἐστι πορεύεσθαι
ταχὺ σημαίνει καὶ καθ' ὅμηρον —

ποταμόν. ἔξωθεν περιέχων κυ-
κλοτερῶς ὅλον τὸν κόσμον.
ὠκεανός. ὁ τὴν οἰκουμένην ἐγκύ-
κλῳ περιερχόμενος ποταμός.

τὸ ω μετὰ τοῦ λ.

ὠλέναι. αἱ χεῖρες. ἀπὸ τοῦ δι'
αὐτῶν ὁλοῦσθαι τὰς πράξεις. του-
τέστι πληροῦσθαι. ἤτω σωρανὸς καὶ
ἐπαύξησιν τοῦ ο. εἰς ω.
ὠλιγορηκότα. ἠφρονηκότα. ἀπὸ
θέματος τοῦ ὀλιγωρῶ. τοῦτο πα-
ρὰ τὸ ὀλίγος καὶ τὸ ὥρα. ὃ ση-
μαίνει τὴν φροντίδα.

τὸ ω μετὰ τοῦ μ

ὦ μάκαρ. μακάριε. τίμιε. ἀτρεΐ-
δη. μοιρηγενὲς ὀλβιόδαιμον. ὁ ἐπὶ
εὐτυχίᾳ τεχθείς. εὐδαιμόνησατε.
τί ἔχει ἐξαίρετον ὁ στίχος οὗτος
ὑπὲρ τοὺς λοιπούς. οὗτος ὁ στίχος
μιμεῖται. τὰς τοῦ ἡλίου ἀκτῖνας
ὥσπερ ἐκεῖνος ἀνατέλλων ὀλίγον

τί ἐφαπλοῖ τὰς ἀκτῖνας αὐτοῦ
ἐπειδὴ ἐν τῷ μεσουρανήματι ἐλθὼν
τελειότατος γίνεται. οὕτως καὶ ὁ στί-
χος οὗτος. ἀπὸ ἀτελῶν συλλαβῶν
ἀρχόμενος, ἐπὶ τὸ τέλειον ἔρχεται.
τὸ γὰρ ὦ ἐστὶ μονοσύλλαβον· τὸ δὲ
μοιρηγενὲς τετρασύλλαβον· τὸ δὲ
ὀλβιοδαίμον πεντασύλλαβον

ὦμος· ἐκ τοῦ οἴω· τὸ κομίζω· οἶμος·
καὶ τροπῇ τῆς διφθόγγου τῆς οι καὶ
ι εἰς ω. ὦμος· ὁ τὰ βάρη κομίζων.
ἢ παρὰ τὸ οὖς. ὠτός· ὁ τῷ ὠτίῳ
πλησιάζων. ἐκβολῇ τοῦ τ. καὶ πλε-
ονασμῷ τοῦ μ. ὦμος.

ὠμόν· τὸ μὴ μεταβολὴν εἰληφός· εἰς
πέμψιν. ὡς καὶ τὴν ἔξω τροφὴν ὠ-
μὴν λέγομεν, τὴν οὔπω ἑψημένην. ἢ τὴν
ὠπτημένην. ἢ ὡς Φιλόξενος τὸ ὠμὸν
εἰρῆσθαι φησί· τὸ ἐν αὐτότητι μένον.
παρὰ τὸ ὦ τὸ ὑπάρχω. οἷον τὸ
ἐν ταυτότητι ὑπάρχον. καὶ μὴ μετα-
βληθέν.

τὸ ω μετὰ τοῦ π

ὦπτω. ἐθεώρει. ἐκ τοῦ ὄπτω. ὁ μέλλων ὄψω. ὁ παρακείμενος ὦφα ὁ παθητικός ὦμαι. ὁ ὑπερσυντελικός ὤμην. ὦψω. ὦπι.

τὸ ω μετὰ τοῦ ρ

ὥρα ὁ καιρός. ὥρα καὶ ὁ ἐνιαυτός. ὥρα καὶ ἡ εὐμορφία. ὥρα ἡ νεότης. ὥρα ἡ φροντίς. ὥρα καὶ ἡ ἀστραπή. ὧραδὲ ἄνθη τὰ κατὰ καιρὸν γινόμενα.

ὥρα. διὰ τὸ ὁρᾶσθαι. ἢ ἀπὸ τῆς ἕωας ἔαρ παρέχεσθαι τὴν ἡμέραν. καὶ ὥσπερ ἀπὸ τοῦ χῶ. χώρα. καὶ ψῶ. ψώρα. οὕτω καὶ ἀπὸ τοῦ ὦ τοῦ σημαίνοντος τὸ ὑπάρχω, γίνεται ὥρα. σημαίνει δὲ τῆς ἡμέρας τὸ ιβ.

ὥρα. παρὰ τὸ ὤρω τὸ φυλάσσω. κατὰ γὰρ ὥραν ἐφύλαττον οἱ ἀρχαῖοι ἐν ταῖς νυξίν. ἢ ἀπὸ τοῦ διορίζειν τὰ διαστήματα τῆς ἡμέρας.

ἔστι δὲ ὄνομα θηλυκόν· τὰ γὰρ εἰς ρ̄α θηλυκὰ δισύλλαβα εἰ μὲν διφθόγγῳ παραλήγεται, συστέλλει τὸ ᾱ· οἷον στεῖρα· σπεῖρα. εἰ δὲ ἑνὶ φωνήεντι παραλήγεται, ἐκτείνει τὸ ᾱ· οἷον χώρα· χήρα· ψώρα· οὕτω καὶ ὥρα.